Ἐὰν ἔν τινι χώρᾳ ἄλλοι μὲν ἀντέχωνται τῆς διαλέκτου, ἄλλοι δὲ μεταχειρίζωνται καὶ ἐν τῇ καθ' ἡμέραν συναναστροφῇ τεχνητήν, ἐπείσακτον γλῶσσαν, συμβαίνει φύσει, ὥστε ἐπί τινας ἀνθρώπους εὐθὺς ἐκ μικρᾶς ἡλικίας νὰ ἐπιδρῶσι τρόπον τινὰ συγχρόνως ἀμφότεραι αἱ ὁμάδες, οὕτω δὲ κατ' ἀνάγκην γεννῶνται διάφορα μείγματα. Ἐπειδὴ δ' ἕκαστον μεῖγμα βοηθεῖ τὴν γένεσιν ἄλλων νέων μειγμάτων, συμβαίνει ἀναγκαίως καὶ ἐν αὐτῇ τῇ φυσικῇ γλώσσῃ μέγα πλῆθος τοιούτων παραλλαγῶν. Ἐν τῇ Ἄνω καὶ Μέσῃ Γερμανίᾳ δύναταί τις νὰ φθάσῃ ἀπὸ τοῦ ὁμοιοτάτου τῷ κανόνι τύπου εἰς ἄλλον σφόδρα ἀπέχοντα αὐτοῦ, καὶ ταῦτα πάντα βαθμηδόν, χωρὶς νὰ εὕρῃ που ὑπάρχον ἀπότομον ῥῆγμα. Ἐν δὲ τῇ Ἑλβετίᾳ, ἔνθα ἡ τεχνητὴ γλῶσσα ἀκόμη δὲν εἰσῆλθεν εἰς τὴν καθημερινὴν συναναστροφὴν καὶ δὲν ἔχει μεταβληθῆ εἰς φυσικὴν γλῶσσαν, ὑπάρχει μὲν διακύμανσις μεταξὺ τῶν διαλέκτων, καθ' ὅσον μᾶλλον ἐπὶ ταύτην ἢ ἐπ' ἐκείνην ἐπέδρασεν ἡ γραφομένη, ἀλλὰ μεταξὺ τῆς γραφομένης καὶ τῆς διαλέκτου, ἐφ' ἣν αὕτη ἰσχυρότατα ἐπέδρασεν, ὑπάρχει ἀντίθεσις, ἥτις δὲν ἀπόλλυται βαθμηδὸν διὰ διαφόρων παραλλαγῶν.

Ἐάν τις οἴκοθεν μάθῃ γλῶσσαν ὁμοίαν πως τῷ κανόνι, δὲν αἰσθάνεται φύσει τηλικαύτην ἀνάγκην, ἵνα καὶ ἄλλην τεχνητὴν προσμάθῃ, ὁπόσην λ.χ. ὁ τὴν καθαρὰν καὶ ἀμιγῆ διάλεκτον τῆς ἐπαρχίας αὐτοῦ ἐν τῇ μικρᾷ ἡλικίᾳ μαθών. Τούτου δ' ἕνεκα ἀρκεῖται ἐκεῖνος συνήθως ἐν τῇ μιᾷ γλώσσῃ διὰ τὴν προφορικὴν ὁμιλίαν. Δύνανται δ' ὅμως περιστάσεις νὰ ἀναγκάσωσιν αὐτὸν νὰ ἐπιζητήσῃ μείζονα προσέγγισιν πρὸς τὸν κανόνα, καὶ οὕτω γίνεται καὶ οὗτος δίγλωσσος (1). Καὶ πάλιν ἡ τεχνητὴ αὐτοῦ γλῶσσα δύναται νὰ γίνῃ φυσικὴ τῆς ἀκολούθου γενεᾶς, καὶ τοῦτο πολλάκις νὰ ἐπαναληφθῇ.

Ἐν τοῖς μέχρι τοῦδε ἐζητήσαμεν νὰ δείξωμεν πῶς διατίθενται καὶ συμβαίνουσι τὰ πράγματα, ὅταν ἤδη προϋπάρχῃ γενικῶς ἀνεγνωρι-

φοις, ἐντεῦθεν φρονοῦσιν ὅτι ὅσῳ μᾶλλον διαλεκτικώτερον γράφουσι, τοσούτῳ φυσικωτέραν γλῶσσαν μεταχειρίζονται, ὡσεὶ τὰ πεζὰ καὶ ποιητικὰ προϊόντα αὐτῶν ἔγραφον χάριν ‑ν ἀγροτῶν ἐκείνων, οἷς ἴσως αἱ διάλεκτοι, ἃς οὗτοι γράφουσιν, εἶναι φυσικαὶ γλῶσ‑ ., καὶ μὴ χάριν ἡμῶν τῶν ἀστῶν καὶ καθόλου μεμορφωμένων, οἷς φυσικὴ γλῶσσα ἐν εἶναι αἱ διάλεκτοι ἐκεῖναι ἀλλ' ἡ κοινὴ λαλουμένη, ἡ ἐγγὺς τῷ γραπτῷ λόγῳ φερο‑ ίνη. (Πρβλ. καὶ Ἀθηνᾶς Τομ. Ε' σελ. 229).

(1) Φυσικὸν ἄρα τι φαίνεται ἡ διγλωσσία καὶ τοῦτο πανταχοῦ καὶ οὐχὶ μέγα δεινὸν δὲ μόνοις ἡμῖν ἰδιάζον οὐδ' ἀποτρόπαιον, ὅπως μέχρι τοῦδε παρεστάθη ἐν Ἑλλάδι.

Digitized by Google

σμένος τις κανὼν ὡς κοινὴ γλῶσσα. Ὑπολείπεται εἰσέτι νὰ ἐξετάσωμεν, πῶς δύναται νὰ γεννηθῇ ὁ τοιοῦτος κανών. Ὅτι οὗτος ὅπου νῦν ὑφίσταται, δὲν ἠδύνατο εὐθὺς ἐξ ἀρχῆς νὰ ὑπάρχῃ, ὅτι ἐν προτέρᾳ τινὶ περιόδῳ πάντως μόνον διάλεκτοι παρ' ἀλλήλας εὐχρήστουν, τοῦτο οὐδεὶς δύναται ν' ἀμφιβάλλῃ πλέον σήμερον. Ἀλλὰ πολλοῖς προσπίπτει δύσκολον νὰ ἐννοήσωσιν ὅτι γλῶσσά τις ἐγένετο εὔχρηστος ἐν φιλολογικοῖς ἔργοις ἄνευ κανόνος (1), διὸ παρὰ πολλοῖς παρατηρεῖται ἡ τάσις νὰ τοποθετήσωσι τὴν γένεσιν αὐτῆς εἰς ὅσον οἷόν τε ἀπωτάτω χρόνους. Ἐν τούτῳ οὐδὲν ἄλλο διαβλέπω ἢ ἐπενέργειαν ἀρχαίων προλήψεων, καθ' ἃς ἡ μὲν γραφομένη εἶναι ἡ κυρίως καὶ μόνη δικαίωμα ὑπάρξεως ἔχουσα γλῶσσα, ἡ δὲ διάλεκτος ἐκλαμβάνεται μόνον ὡς διαφθορὰ αὐτῆς. Ὅτι καθόλου περὶ τούτου εἶναι δυνατὴ ἀμφιβολία τις, αἰτία εἶναι ὅτι τῶν παλαιοτέρων περιόδων ἡμεῖς γραπτά τινα μόνον ἔχομεν πρὸ ἡμῶν, οὐχὶ δὲ τὸν λαλούμενον τότε λόγον, ἐντεῦθεν ἀφίενται πλατεῖαι κέλευθοι εἰς εἰκασίας περὶ τῆς ποιότητος τῆς ὄντως λαλουμένης τότε γλώσσης. Ἀλλὰ μέτρον τοῦ ὀρθοῦ ἢ πλημμελοῦς τῶν εἰκασιῶν τούτων δύνανται νὰ παράσχωσιν ἡμῖν μόναι αἱ μέχρι τοῦδε συλλεχθεῖσαι παρατηρήσεις καὶ γνώσεις περὶ τῶν ὅρων τοῦ βίου τῆς γλώσσης. Ὅ,τι κατὰ τὸ μέτρον τοῦτο παρεξεταζόμενον εὑρίσκεται ἐσφαλμένον, τούτου ἡ ἐπανάληψις καὶ διάδοσις ὀφείλει τέλος νὰ παύσῃ.

Μεταξὺ τῶν παραγόντων οἵτινες συμβάλλουσιν εἰς δημιουργίαν κοινῆς γλώσσης, ἐπάναγκες, καθὰ ἐκ τῶν μέχρι τοῦδε διασαφηθέντων προκύπτει, νὰ ἐξαρθῇ κατὰ πρῶτον λόγον ἡ ἀνάγκη. Τοιαύτη δ' ἀνάγκη ἀνακύπτει τότε πρῶτον, ὅτε αἱ διαλεκτικαὶ διαφοραὶ ἔχουσιν ἤδη ἐπὶ τοσοῦτον προβῆ, ὥστε δὲν δύνανται πλέον πάντες οἱ ὁμόγλωσσοι νὰ συνεννοῶνται εὐκόλως μετ' ἀλλήλων, καὶ πάλιν ἡ ἀνάγκη

(1) Παρ' ἡμῖν ὑπάρχουσιν οἱ φρονοῦντες ὅτι τούτου ἕνεκα ἡ λαλουμένη γλῶσσα δὲν πρέπει νὰ γράφηται, διότι δὲν συνετάχθη ἔτι γραμματική τις αὐτῆς (ἢ καθὼς λέγουσιν, διότι δὲν ἔχει γραμματικήν), ὁρίζουσα καὶ περιγράφουσα ἀκριβῶς οὐ μόνον τὰ στοιχεῖα αὐτῆς, ἀλλὰ καὶ διακρίνουσα αὐτὰ εἰς ἐπιτετραμμένα καὶ δὴ χρήσιμα καὶ εἰς ἀπηγορευμένα καὶ δὴ ἄχρηστα εἰς γραπτὸν λόγον. Οὐδὲ δύνανται νὰ πιστεύσωσιν ὅτι τὸ τί μέλλει νὰ εἶναι ἐπιτετραμμένον καὶ τί ἀπηγορευμένον ἐν τοῖς τοιούτοις, εἶναι ἔργον ἀκριβῶς τῶν συγγραφέων, οὐχὶ δὲ ὡρισμένον ἄνωθεν ἐκ τῶν προτέρων, οὐδὲ τῶν Γραμματικῶν οἵτινες δύνανται νὰ περιγράφωσι καὶ ἑρμηνεύωσι οὐχὶ δὲ καὶ νὰ συνιστῶσί τινα καὶ νὰ ἀποδοκιμάζωσιν ἄλλα ὡς αὐτοκράτορες!

Digitized by Google

εἶναι μεγάλη τότε κυρίως μόνον, ὅταν πρόκειται περὶ ἀμοιβαίως ἐπικοινωνίας ἀνθρώπων γεννηθέντων ἐν χώραις κειμέναις μακρὰν ἀλλήλων, ἐπειδὴ μεταξὺ τῶν ἐγγὺς ἀστυγειτόνων δὲν ἀναπτύσσονται ὑπερβαλλόντως ἀπότομοι ἀντιθέσεις. Οὐδὲν δὲ σφαλερώτερον τῆς ὑποθέσεως ὅτι κοινὴ γλῶσσα διεμορφώθη κατὰ πρῶτον ἐντὸς περιωρισμένης ἐκτάσεως μικρὰς μόνον ἐχούσας διαλεκτικὰς διαφοράς, καὶ ἐντεῦθεν ἔπειτα ἐπεξετάθη ἐπὶ τὰς ἀπωτέρω κειμένας χώρας. Τοὐναντίον μᾶλλον εἶναι φυσικόν, καὶ τοῦτο διδάσκει ἡ καθ' ἑκάστην πεῖρα, ὅτι γλῶσσά τις γίνεται κοινὴ ἀκριβῶς διὰ τοῦτο, ὅτι παραλαμβάνεται ὡς πρότυπον ἐν χώραις, ὧν αἱ διάλεκτοι εἶναι λίαν διάφοροι αὐτῆς, ἐνῷ μικραὶ διαφοραὶ κατὰ πρῶτον μένουσιν ἀπαρατήρητοι. Μάλιστα ὁ χαρακτὴρ τῆς κοινῆς γλώσσης ὡς τοιαύτης ἐνισχύεται καὶ βεβαιοῦται σφόδρα, ἂν αὕτη μεταβιβασθῇ εἰς ἀνθρώπους παντάπασιν ἀλλογλώσσους, ὅπως μανθάνομεν ἐκ τῆς Ἑλληνικῆς Κοινῆς καὶ ἐκ τῆς Λατινικῆς (1).

Ἵνα δὲ κατὰ ταῦτα ὑπάρχῃ ἐπείγουσα ἀνάγκη κοινῆς γλώσσης, ἀναγκαῖον εἶναι νὰ ἔχῃ πρότερον ἀναπτυχθῇ ἱκανῶς ἡ ἐπικοινωνία πρὸς ἀλλήλας τῶν διαφόρων καὶ αὐτῶν τῶν ἀπωτάτω κειμένων χωρῶν, καὶ νὰ ὑπάρχωσι πολλαὶ ἐμπορικαί, πολιτικαὶ ἢ φιλολογικαὶ σχέσεις. Ἐκ τῆς μείζονος ἢ ἐλάσσονος ζωηρότητος τῆς ἐπικοινωνίας περαιτέρω ἐξαρτᾶται ἐν μέρει τὸ μέγεθος τῆς ἐκτάσεως, ἐφ' ἧς θὰ κυριαρχήσῃ ἡ κοινή. Τὰ ὅρια τῆς ἐκτάσεως ταύτης δὲν συμπίπτουσιν οὐδαμῶς μετ' ἐκείνων, ἃ σκοπιμώτατα θὰ ἐχάραττέ τις λαμβάνων ὑπ' ὄψιν μόνας τὰς σχέσεις τῶν διαλέκτων πρὸς ἀλλήλας. Ἐὰν ἐν δύο διαφόροις χώραις αἱ διαλεκτικαὶ διαφοραὶ εἶναι περίπου ἴσαι, δύναται νὰ συμβῇ, ὥστε ἐν ταύτῃ μὲν ν' ἀναπτυχθῇ μία μόνη κοινή, ἐν ἐκείνῃ δὲ δύο, τρεῖς ἢ καὶ πλείονες. Οὐδεὶς λ. χ. ἀμφιβάλλει ὅτι μεταξὺ τῶν διαλέκτων τῆς Ἄνω καὶ Κάτω Γερμανίας ὑπάρχουσι πολλῷ μείζονες διαφοραὶ ἢ μεταξὺ τῆς Σερβικῆς καὶ Βουλγαρικῆς, ἀκόμη καὶ μεταξὺ τῆς Πολωνικῆς καὶ Σερβικῆς. Δύνανται δύο χῶραι ἔχουσαι ὁμοιοτάτας διαλέκτους, νὰ διασπασθῶσιν ὡς πρὸς τὰς κοινὰς γλώσσας τὰς ἐν αὐταῖς ἐπικρατούσας, ἐνῷ δύο ἄλλαι χῶραι ἔχου-

(1) Ὅτι λ. χ. πρῶτον ἐκτὸς τῆς Ἑλλάδος διεμορφώθη ἡ κατ' ἐξοχὴν λεγομένη Κοινὴ καὶ ἔπειτα μετὰ αἰῶνας ἀπὸ τῆς Αἰγύπτου καὶ Ἀσίας μετεδόθη καὶ ἐπὶ τὴν Ἑλλάδα, εἶναι σήμερον ἀνεπίδεκτον ἀντιρρήσεως.

Digitized by Google

σαι διαλέκτους λίαν διαφόρους νὰ προσλάβωσι τὴν αὐτὴν κοινήν.

Πόσον δ' ἡ γένεσις κοινῆς γλώσσης ἐξαρτᾶται ἐκ τῆς ἀνάγκης, διδάσκει καὶ ἡ ἀκόλουθος παρατήρησις. Εἶναι δύσκολον, ἂν μὴ ὅλως ἀδύνατον, ὅταν ἐπὶ μεγάλης τινὸς ἐκτάσεως ἐγκατασταθῇ καὶ ῥιζοβολήσῃ, ὡς εἰπεῖν, κοινή τις γλῶσσα, νὰ δημιουργηθῇ διὰ μέρος τι τῆς ἐκτάσεως ταύτης ἰδιαιτέρα τις κοινή. Οὕτω λ. χ. οὐδεὶς δύναται νὰ σκέπτηται πλέον νὰ δημιουργήσῃ ἰδιαιτέραν κοινὴν γλῶσσαν τῆς Κάτω Γερμανίας ἢ τῆς Προβιγκίας. Καὶ οἱ ἀγῶνες ἵνα πλασθῇ ἰδιαιτέρα Νορβηγικὴ κοινὴ γλῶσσα, ναυαγοῦσιν ἐπὶ τῆς ἤδη ὑπαρχούσης κυριαρχίας τῆς Δανικῆς. Καὶ τἀνάπαλιν δὲν εἶναι εὔκολον νὰ ἐπικρατήσῃ κοινή τις γλῶσσα ἐπὶ μεγάλης ἐκτάσεως, ἐὰν τὰ καθ' ἕκαστον μέρη τῆς ἐκτάσεως ταύτης ἔχωσιν ἤδη ἕκαστον τὴν κοινὴν αὐτοῦ γλῶσσαν, ἐξαρκοῦσαν εἰς τὰς πρώτας ἀνάγκας. Τοῦτο παρατηρεῖ τις ἐν τῇ ἀποτυχίᾳ τῶν Πανσλαυϊστικῶν ἀγώνων. Ὁμοίως ἐμποδίζει καὶ ξένη ὅλως γλῶσσα, ἂν ἅπαξ εἰσήλασεν εἰς τὴν φιλολογικὴν καὶ πολιτικὴν ἐπικοινωνίαν, τὴν μόρφωσιν ἐθνικῆς κοινῆς γλώσσης. Οὕτω λ. χ. οἱ ἀγῶνες πρὸς ἵδρυσιν ἰδιαιτέρας Φλανδρικῆς φιλολογικῆς γλώσσης μικρὸν μόνον ἔσχον ἀποτέλεσμα, ἐπειδὴ ἡ Γαλλικὴ οὕτως ἰσχυρῶς ἐρριζοβόλησεν ἐν αὐτοῖς. Σφοδρὰν δὲ τοιαύτην κωλυτικὴν ἐπίδρασιν ἔσχε καὶ ἡ Λατινική.

Μόνον διὰ τὴν ἄμεσον συγκοινωνίαν ἰσχύει μέγα ἡ ἀνάγκη κοινῆς γλώσσης, διὰ δὲ τὴν ἄμεσον πολλάκις οὐδ' ὑπάρχει ἡ ἀνάγκη αὕτη, ἐὰν τὰ ἄτομα, μεταξὺ τῶν ὁποίων γίνεται ἡ ἀνακοίνωσις, εἶναι ὅλως διάφορα διαλεκτικῶς. Ἐὰν δηλ. ἡ ἀνακοίνωσις τελῆται δι' ἄλλων ἀτόμων, ὧν αἱ διάλεκτοι κεῖνται ἐν τῷ μέσῳ, δύναται τὸ ἀνακοινούμενον μεταβιβαζόμενον ἀπὸ μιᾶς διαλέκτου εἰς ἄλλην καὶ ἐκ ταύτης πάλιν εἰς ἄλλην νὰ λάβῃ τοιαύτην μορφήν, ὥστε νὰ καταστῇ σαφὲς καὶ εἰς ἐκείνους οἵτινες δὲν θὰ τὸ ἐνόουν ἐν τῇ διαλέκτῳ, ἐν ᾗ κατὰ πρῶτον ἦτο. Τοιαύτη δὲ διαδοχικὴ μετάβασις τελεῖται προδήλως ὅταν ποιητικὰ προϊόντα μεταφέρωνται ἀπὸ ἑνὸς τόπου εἰς ἄλλον προφορικῶς. Ἀλλὰ ταύτῃ ὑπόκεινται καὶ γραπτὰ μνημεῖα, ἂν διὰ τῆς ἀντιγραφῆς ἐξαπλῶνται. Συνήθως ἡ ἐξάπλωσις τελεῖται κατὰ τὸ μᾶλλον καὶ ἧττον ἀτελῶς, ὥστε παράγονται μεικταὶ διάλεκτοι. Πάμπολλα τούτων παραδείγματα παρέχουσιν αἱ διάφοροι ἐθνικαὶ φιλολογίαι τοῦ μέσου αἰῶνος. Οὕτω δὲ κατορθοῦται νὰ συνδέωνται διὰ τῶν

Digitized by Google

προϊόντων τούτων καὶ χῶραι σφόδρα διαλεκτικῶς διαφέρουσαι ἀλλήλων καὶ ἄνευ μεσολαβήσεως κοινῆς τινος γλώσσης. Μάλιστα ἡ συχνότατα παρατηρουμένη πρᾶξις αὕτη ἐμποδίζει ἀκριβῶς ὥστε διάλεκτός τις, ἐν ᾗ τυχὸν συνετάχθησαν ἔξοχα καλλιτεχνικὰ μνημεῖα, νὰ τύχῃ δι' αὐτὰ διαδόσεως καὶ κατισχύσῃ τῶν ἄλλων, διότι δὲν διαδίδεται μετὰ τῶν μνημείων τούτων, τοὐλάχιστον οὐχὶ καθαρά. Ὅλως διαφόρως ἔχει τὸ πρᾶγμα, ὅταν ἡ διάδοσις ἐκτελῆται διὰ τοῦ τύπου, δι' οὗ καθίσταται δυνατὸν ὥστε νὰ διαδοθῇ πανταχοῦ ἔργον φέρον τὸν γνήσιον τύπον, ὃν ὁ συγγραφεὺς ἢ ὁ ἐκδότης ἔδωκεν αὐτῷ. Καὶ ἂν δὲ καθόλου μέλλωσι νὰ χρησιμοποιηθῶσι τὰ προτερήματα τοῦ τύπου, ἀνάγκη, εἰ δυνατόν, εἷς τύπος νὰ ἐξαρκῇ διὰ πᾶσαν τὴν ὁμόγλωσσον χώραν καὶ πρὸς τοῦτο ἀπαιτεῖται, ἵνα ἡ γραφομένη γλῶσσα νοῆται πανταχοῦ. Μετὰ τὴν εἰσαγωγὴν ἄρα τοῦ τύπου καθίσταται ἐπαισθητοτέρα ἡ ἀνάγκη κοινῆς γλώσσης, ἀλλ' ἅμα καὶ παρέχονται καταλληλότερα μέσα εἰς πλήρωσιν τῆς ἀνάγκης ταύτης. Πρὸς δὲ τούτοις μόνον ἀφοῦ ὁ τύπος ἐφευρέθη, κατέστη δι' αὐτοῦ δυνατὴ ἡ πανταχοῦ διάδοσις τῆς γνώσεως τοῦ ἀναγινώσκειν καὶ γράφειν. Πρὸ δὲ τῆς χρήσεως τοῦ τύπου ὀλίγοι μόνον ἄνθρωποι ἠδύναντο νὰ αἰσθάνωνται τὴν μεγάλην ἐνέργειαν ἑνὸς κανόνος τῆς γραπτῆς γλώσσης.

Ἀλλ' ἡ ἀνάγκη μόνη δὲν ἀρκεῖ φύσει νὰ πλάσῃ κανόνα κοινῆς γλώσσης, οὐδὲ δύναται νὰ δώσῃ ἀφορμὴν εἰς αὐθαίρετον ἐφεύρεσιν. Οὐδ' ἐνταῦθα προβαίνει ἐπὶ τοσοῦτον ἡ σκοπιμότης, ὅσον καὶ ἂν αὕτη ἤθελεν εἶναι μείζων ἢ κατὰ τὴν φυσικὴν τῆς γλώσσης ἀνάπτυξιν Πανταχοῦ ὡς κανὼν χρησιμεύει κατ' ἀρχάς τι οὐχὶ νῦν πρῶτον πλαττόμενον, ἀλλὰ μία τῶν ὑπαρχουσῶν διαλέκτων. Καὶ πάλιν οὐδὲ τούτων ἐκλέγεταί τις κατά τινα συνθήκην, ἀλλὰ μᾶλλον ὀφείλει ἡ μέλλουσα νὰ καταστῇ κανὼν νὰ ὑπερέχῃ φυσικῶς κατά τι εἴτε ἐν τῇ ἐμπορίᾳ, εἴτε ἐν τῇ πολιτικῇ, εἴτε ἐν τῇ φιλολογίᾳ, εἴτε καὶ ἔν τισι τούτων ἅμα. Ὁ δὲ σκοπὸς τῆς δημιουργίας κοινῆς γλώσσης ἐπέρχεται πρῶτον, ὅταν ἔχωσιν ἤδη γίνει τὰ πρῶτα βήματα πρὸς τοῦτο. Τ..λάχιστον μόνον ἐν τοῖς ἐσχάτοις χρόνοις φαίνεται ὅτι συνέβη νὰ ..ειρηθῇ ἄνευ προϋπαρχούσης βάσεως ἡ δημιουργία κοινῆς γλώσ.. , ἀλλὰ πάντοτε σχεδὸν ἄνευ ἀποτελέσματος. Κατὰ τὴν ἐργασίαν ..την ἐλήφθησαν ὡς πρότυπα αἱ σχέσεις ἄλλων χωρῶν ἐχουσῶν .. κοινὴν γλῶσσαν. Ἀλλ' ὅτε αἱ κοιναὶ γλῶσσαι τῶν μεγάλων Εὐ-

Digitized by Google

ρωπαϊκῶν χωρῶν ἐδημιουργήθησαν, τοιαῦτα πρότυπα δὲν ὑπῆρχον. Ἐδέησε πρῶτον διὰ τῆς πείρας νὰ μάθωσιν, ὅτι τοιαύτη κοινὴ ἠδύνατο νὰ ὑπάρξῃ, πρὶν ἢ ἐπιζητήσωσιν αὐτήν.

Προτοῦ δὲ γίνωσι τὰ πρῶτα βήματα εἰς κοινὴν γλῶσσαν, ἀνάγκη πάντως νὰ ὑπάρχωσιν ἄτομά τινα, ἃ διὰ τῶν περιστάσεων ἠναγκάσθησαν νὰ μάθωσι δύο ἢ καὶ τρεῖς διαλέκτους, ὥστε νὰ δύνανται νὰ νοῶσι καί πως καὶ μεταχειρίζωνται αὐτάς. Τοῦτο δύναται νὰ ἔχῃ προέλθει ἐκ τούτου ὅτι μετῴκησαν εἰς ἄλλην χώραν ἢ διέμειναν ἁπλῶς ἐκεῖ ἐπὶ πολὺν ἢ ὀλίγον χρόνον, ἢ ὅτι μετ' ἀνθρώπων ἄλλοθεν ἐλθόντων πολὺ συνανεστράφησαν ἢ ὅτι καὶ περὶ ἔγγραφα μνημεῖα τῆς ἄλλης ἐκείνης χώρας ἠσχολήθησαν. Αἱ κατὰ τὸν τρόπον τοῦτον ἀναπτυσσόμεναι σχέσεις δύνανται νὰ εἶναι ποικιλώταται. Εἷς λαλῶν ὡς φυσικὴν γλῶσσαν τὴν διάλεκτον Α προσμανθάνει καὶ τὴν Β, ἕτερος προσκτᾶται τὴν διάλεκτον Γ, ἄλλος τὴν Δ καὶ οὕτω καθεξῆς· καὶ ἀντιστρόφως ἄνθρωπός τις λαλῶν φυσικὴν γλῶσσαν τὴν διάλεκτον Β ἢ Γ ἢ Δ προσλαμβάνει τὴν διάλεκτον Α. Ἐφ' ὅσον αἱ ἀμοιβαῖαι ἐπιδράσεις τῶν διαφόρων διαλέκτων τρόπον τινὰ ἐξισοῦνται, οὐδεμία πρόοδος εἶναι δυνατή. Ἐὰν δ' ὅμως εἰς ἐκμάθησιν μιᾶς τινος διαλέκτου ὑπάρχωσι πλείονες ἀφορμαὶ ἢ εἰς ἐκμάθησιν πασῶν τῶν ἄλλων, καὶ μάλιστα ἀφορμαὶ ἀναφερόμεναι εἰς τοὺς λαλοῦντας πάσας τὰς διαλέκτους, τότε αὕτη φαίνεται προωρισμένη νὰ γίνῃ κοινὴ γλῶσσα. Ἡ ὑπεροχὴ αὐτῆς φαίνεται κατὰ πρῶτον ἐν τῇ ἐπικοινωνίᾳ μεταξὺ τῶν λαλούντων αὐτὴν καὶ τῶν λαλούντων ἄλλας διαλέκτους, ὅταν συχνότερον καὶ εὐκολώτερον οἱ τὰς ἄλλας διαλέκτους λαλοῦντες μανθάνωσιν αὐτὴν ἢ οἱ ταύτην λαλοῦντες τὰς ἄλλας, ἐν ᾧ χρόνῳ αἱ λοιπαὶ διάλεκτοι μᾶλλον ἰσοφαρίζουσι πρὸς ἀλλήλας. Τὸ κυρίως δ' ἀποφασιστικὸν βῆμα γίνεται τότε, ὅταν τὴν ἀρχομένην νὰ ἐπικρατῇ διάλεκτον μεταχειρίζωνται ἐν ταῖς πρὸς ἀλλήλους σχέσεσιν αὐτῶν καὶ ἄνθρωποι ἄλλας λαλοῦντες διαλέκτους. Πηγάζει δὲ τοῦτο ὡς φυσικὸν ἐπακολούθημα ἐντεῦθεν ὅτι μέγα πλῆθος ἀνθρώπων ἠξεύρουσι ταύτην, καὶ δὴ εἶναι αὐτοῖς εὐκολώτερον νὰ μεταχειρίζωνται ταύτην, ἀφοῦ ἅπαξ ἡ ἐγχώριος διάλεκτος αὐτῶν δὲν ἐξαρκεῖ, ἢ νὰ ἐκμανθάνωσι καὶ τρίτην ἢ καὶ τετάρτην (1). Φυσικωτάτη δὲ καὶ ἀφ' ἑαυτῆς παρίσταται

(1) Καὶ ἡ προφανὴς αὕτη ἀλήθεια λανθάνει τοὺς νεωτέρους ἡμῶν διηγηματογράφους, διὸ δὲν κρίνουσιν ἄτοπον νὰ ἐπιχειρῶσι μὲν νὰ ἐξαναγκάζωσιν ἡμᾶς εἰς κοπιώδη

Digitized by Google

ἡ χρῆσις αὐτῆς αὕτη, ὅταν τις ἀπευθύνηται εἴτε πρὸς τοὺς λαλοῦντας ταύτην ὡς φυσικὴν γλῶσσαν εἴτε καὶ πρὸς τὸ λοιπὸν ἔθνος, ὅπως φύσει γίνεται ἐν τοῖς φιλολογικοῖς ἔργοις καθὼς καὶ ἐν ταῖς πολιτικαῖς σχέσεσιν, ὅταν ὑπάρχῃ πολιτικὴ ἑνότης. Εὐθὺς δ' ὡς καταστῇ συνειδητὴ ἡ σκοπιμότης τῆς χρήσεως τοιαύτης διαλέκτου εἰς εὐρυτέραν ἐπικοινωνίαν, ἄρχεται καὶ ἡ σκόπιμος αὐτῆς περαιτέρω ἀνάπτυξις.

Ἀλλ' ἡ θέσις διαλέκτου τινὸς ὡς προτύπου εἶναι συνήθως βραχεῖά τις μόνον καὶ παροδικὴ βαθμὶς ἐν τῇ ἐξελίξει τοῦ κανόνος τῆς κοινῆς γλώσσης. Τἀπομιμήματα τοῦ προτύπου ὑπολείπονται αὐτοῦ πάντοτε, καθ' ἃ εἴδομεν, κατὰ τὸ μᾶλλον ἢ ἧττον, γεννῶνται δὲ μείγματα μεταξὺ τοῦ προτύπου καὶ τῶν διαφόρων ἐγχωρίων διαλέκτων τῶν καθ' ἕκαστον ἀτόμων. Συνηθέστατα δὲ συμβαίνει ὥστε καὶ αἱ μεικταὶ αὗται διάλεκτοι ἐνίοτε ν' ἀποκτῶσι κῦρός τι, μάλιστα ὅταν ἔξοχοι συγγραφεῖς μεταχειρισθῶσιν αὐτάς. Ἀλλὰ πάλιν ὑπόκειται καὶ ἡ ἐν ἀρχῇ πρότυπος διάλεκτος ἀδιαλείπτοις μεταβολαῖς ἅτε διάλεκτος, ἐνῷ ἡ κανονικὴ γλῶσσα κατ' ἀνάγκην εἶναι συντηρητικωτέρα, καὶ μόνον ἐρειδομένη διαρκῶς ἐπὶ τῶν προτύπων τοῦ παρελθόντος δύναται νὰ διασῴζηται. Οὕτω κατ' ἀνάγκην ἡ διάλεκτος ἀποβάλλει συνήθως τὴν δύναμιν αὐτῆς τοῦ νὰ εἶναι ἀποκλειστικὸν πρότυπον καὶ ἀγωνίζεται περὶ ἐπικρατήσεως πρὸς διαφόρους ἀποκλινούσας παραλλαγάς.

Ἡ τεχνητὴ ἄρα γλῶσσα μεγάλης τινὸς χώρας ἀλλοιοῦται καὶ διασχίζεται συνήθως ἔν τινι σταδίῳ τῆς ἀναπτύξεως αὐτῆς, καθ' ὃν πε-

καὶ συχνότατα πάντῃ ἀδύνατον ἐκμάθησιν τῶν διαφόρων διαλέκτων καὶ ἰδιωμάτων αὐτῶν, νὰ ἐγκαταλείπωσι δὲ τὴν ὑπὸ συμπάντων τῶν ἀστῶν λαλουμένην καὶ νοουμένην κοινὴν σήμερον γλῶσσαν, τὴν ἐγγύτατα τῆς γραφομένης βαίνουσαν. Τὸ περίεργον δ' εἶναι ὅτι τὴν ἀσάφειαν καὶ ἀκαταληψίαν τῶν οὕτω συγγραφομένων συνορῶσι καὶ ὁμολογοῦσι καὶ αὐτοί. Οὕτω λ. χ. γράφει ὁ κ. Κονεμένος «Ἐγὼ ὁ ἴδιος πολλαῖς φορὲς μετεχειρίσθηκα τὴν καθαρεύουσαν καὶ σὲ γράμματά μου καὶ στὸν τύπο, τοῦτο τὸ εἶχα κάμει καὶ τὸ κάμνω ἀκόμα κἄποτες . . . ἢ γιὰ τὴν κακὴ ἕξι ἢ ἐπειδὴ θέλω νά με ἐννοήσουν καὶ νά με αἰσθανθοῦν καλὰ καὶ ὅσο χρειάζεται (ὑπογράφει τὰς λέξεις ταύτας αὐτὸς ὁ κ. συγγραφεύς) ἐκεῖνοι ποῦ ἔχω συμφέρον καμμιὰ φορὰ νά με ἐννοήσουν καὶ νά με αἰσθανθοῦν, τ. ἔ. ἡ τάξι τῶν λογιωτάτων, ἢ ἐπειδὴ δὲν θέλω σὲ αὐτὴν τὴν περίστασι καὶ δὲν εἶμαι τόσον ἀνόητος νὰ θυσιάσω τὴν οὐσία στοὺς τύπους μὲ ζημία μου ἢ μὲ ζημία ἀλλονῶν». Οὕτω διαιροῦνται τὰ γραφόμενα εἰς ἐσωτερικὰ καὶ ἐξωτερικά, καθὰ λέγεται, ὅτι διῃροῦντο τὰ ἔργα τοῦ Ἀριστοτέλους! Ὁμοίως ὡμολόγησαν τὴν ἀκαταληψίαν ταύτην καὶ ἄλλοι (πρβλ. Ἀθηνᾶς Τόμ. Β' 186), ἀλλ' ὅμως παρὰ ταῦτα δὲν ἀφίστανται τοῦ ἀτόπου ἐπιχειρήματος, νὰ γράφωσι δηλ. ἐν γλώσσῃ ἀκαταλήπτῳ, ν' ἀπαιτῶσι δὲ ἅμα παρ' ἡμῶν τἀδύνατα, ἤτοι τὴν κατάληψιν αὐτῶν

Digitized by Google

ρίπου τρόπον καὶ βαθμὸν διασχίζεται καὶ ἡ φυσικὴ ἐντὸς χώρας τινός. Μείζων δὲ συγκέντρωσις ἐπιτυγχάνεται συνήθως μόνον διὰ τοῦ καθορισμοῦ πραγματικῶν κανόνων ἐν τῇ προφορικῇ διδασκαλίᾳ, διὰ γραμματικῶν, λεξικῶν, Ἀκαδημειῶν κλπ. Ἀλλὰ μεθ' ὁπωσησδήποτε ἐπιγνώσεως καὶ σκοπιμότητος καὶ ἂν πλασθῇ ὁ κανὼν τῆς γραφομένης, οὐδέποτε δύναται νὰ ἐπέλθῃ πλήρης στασιμότης τῆς ἀνεπιγνώστου καὶ αὐτομάτου ἐξελίξεως, διότι αὕτη εἶναι ἀναποσπάστως συνδεδεμένη μετὰ πάσης λεκτικῆς ἐνεργείας».

Τοσαῦτα ὁ Paul. Νῦν δ' ἅς μοι ἐπιτραπῶσιν ἔτι δύο λέξεις. Διὰ τοῦ Πρώτου μέρους τοῦ γλωσσικοῦ ζητήματος ἐν Ἑλλάδι δημοσιευθέντος ἐν Ἀθηνᾶς Τομ. Β' σελ. 169 κέξ. ἐζήτησα ν' ἀποδείξω ὅτι ἡ γραφομένη ὑφ' ἡμῶν σήμερον γλῶσσα δὲν εἶναι ἀποκύημα αὐθαιρεσίας τινῶν, ὅπως πολλοὶ παρ' ἡμῖν καὶ ἐν τῇ ἀλλοδαπῇ φρονοῦσιν, ἀλλ' ἀποτέλεσμα ἱστορικῶν ἰσχυροτάτων ἀναγκῶν, πρὸς ἃς οὔτε οἱ παλαιότεροι οὔτε ἡμεῖς δυνάμεθα νικηφόρως νὰ παλαίσωμεν. Τὴν ἀπόδειξιν ταύτην οὐδεὶς μέχρι σήμερον ἀπεπειράθη ν' ἀνασκευάσῃ, ὁ δὲ κ. Albert Thumb ἐν τῷ Ἐγχειριδίῳ αὐτοῦ σελ. ζ' καὶ διαρρήδην ἀσπάζεται λέγων ὅτι ἡ καθαρεύουσα «δὲν εἶναι τῶν νεωτάτων χρόνων κατασκεύασμα, ἀλλὰ προϊὸν χρήσεως μακρῶν αἰώνων πέραν τοῦ Βυζαντίου ἐξικνουμένης». Διὰ δὲ τοῦ Δευτέρου μέρους τοῦ γλωσσικοῦ ζητήματος ἐν Ἀθηνᾶς Τομ. Ε' σελ. 177 κέξ. ἀπέδειξα διὰ μεταφράσεως τῆς τοῦ Noreen πραγματείας ὅτι καὶ ἐν ταῖς Σκανδιναυικαῖς χώραις καὶ ἐν Γερμανίᾳ τοιαύτη διαφορὰ τῆς γραφομένης ἀπὸ τῆς λαλουμένης παρατηρεῖται, ὅτι καὶ ἐκεῖ ἀγωνίζονται ὅμοιον ἀγῶνα καὶ ὅτι καὶ ἐκεῖ ἄνδρες ἐπιστήμονες σκέπτονται περὶ τούτου καὶ διαφόρους συμβουλὰς καὶ ὑποθήκας προτείνουσιν εἰς περιορισμὸν τοῦ κακοῦ τῆς ἐπικρατούσης καὶ ἐκεῖ διγλωσσίας, καὶ ὅτι καὶ παρ' ἡμῖν τὰ κακὰ αὐτῆς δύνανται νὰ ἐλαττωθῶσιν, ἂν ὑγιέστεραι ἀρχαὶ ἐπικρατήσωσι παρὰ τοῖς συγγράφουσι φιλολογικὰ ἔργα, ὑπεδείχθησαν δὲ καί τινα αὐτῶν πλημμελήματα. Διὰ τοῦ Τρίτου μέρους ἐν Ἀθηνᾶς Τομ. Ζ' σελ. 145 κέξ. ἐφρόντισα ν' ἀποδείξω ὅτι ὅσα ἀπὸ πολλοῦ ὡς τῆς γλωσσολογίας δῆθεν διδάγματα καὶ ὑπὸ πάντων ὁμολογούμενα πορίσματα αὐτῆς προεφέροντο εἰς τὸ μέσον καὶ ὑπὸ τῶν ἀπειροτέρων ὡς πυθόχρηστα ἐπιστεύοντο, δὲν εἶναι ἀληθῆ, τῆς ἀληθοῦς ἐπιστήμης νῦν ἄλλα καὶ ὀρθότερα φρονούσης. Ἐπίσης ἀπέδειξα διὰ παραθέσεως πολλῶν μαρτυριῶν ὅτι πανταχοῦ

Digitized by Google

καὶ τὸ πάλαι καὶ νῦν παρατηρεῖται διαφορὰ τῆς κοινῆς γραφομένης ἀπὸ τῆς λαλουμένης, καὶ ὅτι ἡ καὶ παρ' ἡμῖν παρατηρουμένη διαφορὰ αὕτη οὔτε μονήρης οὔτε ἀφύσικος εἶναι. Διὰ τοῦ παρόντος Τετάρτου μέρους παρέχεται ὑπ' ἀνδρὸς τὰ πρῶτα φέροντος ἐν τῇ γλωσσικῇ ἐπιστήμῃ ἐξαισία ψυχολογικὴ ἀνάλυσις καὶ διαλεύκανσις τοῦ περὶ οὗ ὁ λόγος ζητήματος, ὁρίζεται καὶ περιγράφεται ἡ φύσις τῆς κοινῆς γραφομένης, τῆς κοινῆς λαλουμένης καὶ τῶν διαλέκτων, ὁ τρόπος τῆς γενέσεως καὶ ἀναπτύξεως αὐτῶν, καὶ ἐξαίρεται ἡ παρ' ἡμῖν πλειστάκις συγχεομένη φυσικὴ καὶ τεχνητὴ γλῶσσα κτλ. Ταῦτα νομίζω ἱκανὰ τοῖς βουλομένοις νὰ διδαχθῶσιν, ὑπὲρ δὲ τῶν ἄλλων οὔτ' ἐγὼ οὔτε τῶν ἄλλων ἀνθρώπων οὐδεὶς δύναται νὰ πράξῃ τι χρήσιμον, εἰ μὴ ἴσως ὁ καλὸς Θεός.

Γ. Ν. ΧΑΤΖΙΔΑΚΙΣ.

Προσθήκη.

Τοῖς ἀνωτέρω σελ. 124 εἰρημένοις περὶ τοῦ ἀρξαμένου ἤδη ἐν τοῖς δοκίμοις χρόνοις σάλου ἐν τοῖς συμπλέγμασιν υη - υα προστεθήτωσαν καὶ τὰ ἑξῆς.

Τὰ θηλυκὰ εἰς υη ὀνόματα σῴζονται ἐν τοῖς δοκίμοις ἀμετάβλητα, ὅπως ὁ Blass ἐν Γραμματικῇ Α' 382 διδάσκει, μετέπειτα δὲ τρέπονται εἰς -υα, πρβλ. ἐγγύη καὶ τὰ ἐξ αὐτοῦ ἐγγυῆσαι -τής -ητὴ -ησις· ματτύη παρ' Ἀθηναίῳ 141 d καὶ 663-664 ἐξ Ἀττικῶν συγγραφέων· ὀξύη καὶ ὀφρύη παρ' Εὐριπίδῃ· σιπύη καὶ σμινύη παρ' Ἀριστοφάνει καὶ Πλάτωνι· Φλυῆθεν καὶ Φλυῆσι καὶ Φλυήσιος ἐν ἐπιγραφαῖς. Ὁμοίως λέγεται τὸ ἀρσενικὸν τὸν γύην παρ' Εὐριπίδῃ Ἡρακλείδαις 834. (Ἀλλ' ἡ λέξις ποιητικὴ καὶ οὐδὲν ἀποδεικνύει). Ἐν τοῖς μετὰ ταῦτα δ' ἀναγινώσκονται πολλὰ εἰς -υα, οἷον ἀφύα καὶ ἀφύη Βεκκήρου Ἀνεκδότοις 472, 29 διεγγύα, ἰγνύα, ἰξύα, ἰχθύα, καρύα, κωδύα, μελανδρύα, οἰσύα, ὀξύα, ὀστρύα, σικύα, σιπύα παρ' Ἡρωδιανῷ Α' 302 - 3 καὶ παρ' ἄλλοις. (Τὰ παρ' Ἡρωδιανῷ λύη ἡ στάσις ἀπὸ τῆς διαλύσεως, δύη ἡ κακοπάθεια, γύη ἡ γῆ καὶ μέρος ἀρότρου, ι ἡ ψύα, . . . φυή . . . ὀρύη, νορύη ὄντα ἀλλότρια τοῦ πεζοῦ λόγου δὲν ἠκοησαν τῇ μεταβολῇ. Ἄξιον δ' ὅμως σημειώσεως εἶναι ὅτι ὁ Ἡρωδιανὸς ἑρμηνεύει τὸ διὰ τοῦ ψύα, τοῦ συγχρόνου δηλ., ὅπως καὶ ὁ Ἡσύχιος τὸ ἰπύα διὰ τοῦ σιπύα). γόριος δ' ὁ Κορίνθου ἀναγράφει καὶ δελφύα, ματτύα, ψύα ὡς Δώρια, ἀλλ' ὅπως)beck εἰς Φρύνιχον 301 σημ ὀρθῶς παρατηρεῖ, ταῦτα ἠδύναντο ν' ἀνήκωσι καὶ τῇ ιῇ.

Digitized by Google

Ὁμοίως ἐλέγετο ὑπὸ τῶν Ἀθηναίων θυηλή, ξυήλη, θυηπόλος -λία - λέω, θυηφάγος, ὑηνὸς -νία - νέω. Ὁμοίως αὐτοφυής, ἀφυής, διφυής, κακοφυής, νανοφυής, ὀδοντοφυής, ὁμοφυής κττ. Καὶ οἱ συνῃρημένοι τούτων τύποι τὸν αὐτοφυῆ Ξενοφῶντος Ἱππικῇ 7, 11, ἀφυῆ Σοφοκλέους Φιλοκτήτῃ 1014, διφυῆ Τραχινίαις 1095, ὀδοντοφυῆ Εὐριπίδου Φοινίσσαις 821, ὑπερφυῆ Πλάτωνος Συμποσίῳ 455, 6 καὶ Γοργίᾳ 486, 6.

Ἀλλὰ παρὰ ταῦτα ἀναγινώσκεται καὶ εὐφυᾶ παρὰ Ξενοφῶντι ἐν Ἀπομνημονεύμασιν Α΄ 6, 13 καὶ ἐν ἐπιγραφαῖς, ὑπερφυᾶ παρ' Ἀριστοφάνει Ἱππεῦσιν. Βραδύτερον ἐλέχθη ὑπὸ τοῦ Ἀριστοτέλους διφυᾶ. Πρὸς δὲ τούτοις ὑπὸ τοῦ Ἀριστοφάνους καὶ ἑξῆς λέγεται φλύαρος -ρεῖν - ρία ἀείποτε μετὰ τοῦ α. Παραβάλλων δέ τις τὴν τοῦ ὄχλου λέξιν ταύτην φλύαρος, φλυαρεῖν, φλυαρία πρὸς τὴν ἐπίσημον τῆς πολιτείας ἐγγύη ἐγγυῆσαι ἐγγυητὴ κττ. δύναται μετὰ πολλῆς πιθανότητος νὰ εἰκάσῃ ὅτι ἡ γραφὴ τοῦ συμπλέγματος *υη* ἀντὶ *υα* ὀφείλεται εἰς τὴν ὀρθογραφικὴν παράδοσιν τῶν παλαιοτέρων χρόνων, ὅτι δὲ ἀληθῶς τότε ἡ προφορὰ θὰ ἦτο μεσάζουσά τις μεταξὺ τοῦ *η* καὶ *α* ἀλλὰ μᾶλλον α, ἐντεῦθεν καὶ ὅπου ὀρθογραφικὴ παράδοσις δὲν ὑπῆρχεν, λ. χ. ἐν τῇ λέξει φλύαρος, ἐγράφη τὸ δημῶδες *υα*.

Τὸ ναυαγὸς ναυάγιον - γία - γῶ, εὐαγὴς (τὸ εὐαὴς ἅτε ἀλλότριον τοῦ πεζοῦ λόγου δύναται νὰ εἶναι Δώριον) καὶ τὰ μεταγενέστερα εὐαερία, εὐάερος κττ. καθ' ἃ καὶ τὰ νέα Ἑλληνικά, οἷον ἀπάνεμος (=ὑπάνεμος ἀντὶ ὑπήνεμος) κττ. δὲν ἀντιβαίνουσιν ἀληθῶς τοῖς ἀνωτέρω σ. 124 εἰρημένοις, ὅτι ὅπου τὸ *υ* ὡς ἐπιτακτικὸν φωνῆεν τῶν διφθόγγων διέσωσε τὴν ἀρχαίαν αὐτοῦ προφοράν, ἐκεῖ τὸ ἑπόμενον αὐτῷ *η* δὲν ἐτράπη εἰς *α*. Διότι τούτων τὸ φωνῆεν μετεβλήθη κατὰ τὸ τῶν ἁπλῶν ἄγνυμι, ἀγής, διαφυλάξαν μόνον τὸν ἀρχαῖον μακρὸν χρόνον. Τὸ δ' ἀληθὲς ἐν τούτοις διδάσκουσιν ἄλλα παραδείγματα, οἷον εὐήλιος, εὐήμερος, εὐήνεμος, εὐήνιος, εὐήτριος, εὐηχής, εὐήροτος, ἐν οἷς τὸ *η* καίπερ ἐκ τοῦ ᾱ προελθὸν δὲν ἐπανῆλθεν εἰς α ἐπειδὴ τὸ πρὸ αὐτῶν *υ* δὲν ἦτο καθαρὸν φωνῆεν, οὐδ' ἐβάδισε τὴν πρὸς τὸ ü ὁδόν, ὅπως οὐδ' ἐν τῷ σκευὴ - χλεύη κττ.

Γ. Ν. Χ.

Digitized by Google

ΠΕΡΙ ΤΟΥ ΝΟΘΟΥ ΤΩΝ ΠΛΑΤΩΝΟΣ ΝΟΜΩΝ.

Α' ΒΙΒΛΙΟΝ

Τὸ νόθον τῶν Πλάτωνος νόμων ἐκ τῶν ἐν αὐτοῖς λεγομένων πολλοὶ ἐτεκμήραντο, Ἄστος τε μάλιστα (1) καὶ Ζελλῆρος (2) καὶ Σούκκουβος (3) καὶ Ἀκκερμαννὸς (4) καὶ Οὐέισος (5) Καρόλου Ἑρμαννοῦ ἀντιλέγοντος (6) καὶ Σταλλβαύμου (7) καὶ Διτλεύου (8) καὶ ἄλλων, οἷς εἶτα οὐ πολὺ εὐλόγως καὶ Ζελλήρῳ ξυγχωρῆσαι ἔδοξεν (9), ἄλλων τε καὶ Σουσεμίλου (10) ἑπομένων. Βέργκος δὲ (11) καὶ Βροῦγκος (12) Φίλιππον τὸν Ὀπούντιον τὸν Πλάτωνος ἑταῖρον, τὸν κατὰ Διογένη τὸν Λαέρτιον (13) καὶ Σουίδαν (14) τοὺς Πλάτωνος νόμους ἀτελεῖς καταλειφθέντας ἐκδόντα, διττά τινα τοιαῦτα τοῦ Πλάτωνός φασι συγράμματα, ὡς ἓν ὑπολαβόντα, μίξαντά τε καὶ ἓν ποιήσαντα ἐκδοῦναι, πολλοὺς δὲ καὶ ἑαυτοῦ λόγους πρὸς τὴν μῖξιν καὶ τελέωσιν προστεθεικέναι. Ἀλλ' οὐδένα, ὥς γ' ἐμ' εἰδέναι, πλὴν Χρίστου (15) φαίνον-

(1) Plato's Leben und Schriflen (σελ. 379 καὶ ἑξ.)

(2) Studicn Platonische (σελ. 128 καὶ ἑξ.)

(3) Die wissensch und Künstlerische Form der plat. Schriften (σελ. 138 καὶ ἑξ.)

(4) Das Christliche im Platon (σελ. 22 καὶ ἑξ.)

(5) Ἐν τῇ τῶν Ἀριστοτέλους φυσικῶν Ἑρμηνείᾳ (σελ. 350 κἑ.)

(6) Comnent. de vestigiis veterum institutorum in Legibus Ptatonis investigendis (Marburg 1876).

(7) Prolegomena de legibus Platonis (Cap. 1)

(8) Examin. Platonicorum librorum De legibus, quo quonam jnre Platoni Vindicari possint, appareat (Gotting 1820).

(9) Gesch. der Grich. Philos. (Τόμ. 2 σελ. 316 καὶ ἑξ.)

(10) Genetische entwikelung der Platon. Philosophie (2, 2, 559 κἑ).

(11) Füuf abh. zur grich. philos. S. 188 κἑ.

(12) Plato's gesetze vor und nach ihrer Heransgabc durch Philippos von Opus.

(13) (3, 37).

(14) Ἐν τῷ ὀνόματι *Φιλοσόφῳ*.

(15) Grich. Litteraturgesch. 350.

Digitized by Google

ται πείθοντες καὶ τοῦτον οὐ σφόδρα, οὐδ' ἐμὲ ἄρα ἄλλως τε καὶ ἐν τοῖς Νόμοις πολλὰ μὲν τὰ ἀλλότρια Πλάτωνος ὄντα περὶ τὸν λόγον δεικνύντα, πολλὰ δὲ καὶ ἀνάττικα, ἅπερ οὐδ' ὁ Φίλιππος ἂν εἶπεν, ἑταῖρος Πλάτωνος γενόμενος καὶ πλεῖστον ἐν Ἀττικῇ τὰς διατριβὰς ποιησάμενος.

Πολλὰ δ' ἄν τις σκοπῶν καὶ περὶ τὸν λόγον καὶ τὰ ὀνόματα αὐτῶν ἂν εὕροι ἀνοικείως μὲν τοῦ Πλατωνείου ἔχοντα λόγου, ἀλλότρια δὲ καὶ τῆς Ἀττικῆς τὸ παράπαν φωνῆς ὄντα. Μάλιστα δὲ ταῦτ' οὕτως ἔχειν ὑπελάβομεν ῥήματά ποτε τοῦ Ἀττικοῦ συλλέγοντες λόγου, ἱκανὰ δ' ἐν τοῖς Νόμοις τῆς κοινῆς λεγομένης φωνῆς ἢ ποιητικὰ ἀνευρόντες.

Ἔδοξεν οὖν ἡμῖν περὶ τοιαῦτ' ἄττα ἤδη σπουδάσαι τὴν λέξιν μάλιστα καὶ τὰ ὀνόματα αὐτῶν σκοποῦσιν, ὅπως ὀρθότητος ἔχει, ἵνα καὶ ταύτῃ δήλη γένοιτο ἡ θρυλουμένη τῶν νόμων τοῦ Πλάτωνος ἀλλοτριότης.

Καὶ δὴ χωρῶμεν ἐπὶ τοιαύτην τινὰ σκέψιν αὐτῶν καὶ πραγματείαν ἀπὸ τοῦ πρώτου βιβλίου ἀρχόμενοι.

(624 α).

Ἀθην. «Θεὸς ἤ τις ἀνθρώπων ὑμῖν, ὦ ξένοι, εἴληφε τὴν αἰτίαν τῆς τῶν νόμων διαθέσεως;»

Τὸ νόμων διαθέσεως παντὶ μέν που δῆλον ὅτι ἀντὶ τοῦ νόμων θέσεως ἐνταῦθα κεῖται, περὶ δὲ πολιτείας μᾶλλον τοῦτο κύριον ἂν εἴη λεγόμενον, ὥσπερ καὶ εἴρηταί που τῶν νόμων τούτων (710 α) ἀμείνων πολιτείας διάθεσις. Ταὐτὸν δ' ἐκείνῳ καὶ τὸ νόμους διατίθεσθαι (834) δύναται, ὅ γε ἄμεινον ἂν εἶχε νόμους τίθεσθαι λεγόμενον. Ὅτι δὲ ταῦθ' οὕτως ἔχοντ' ὀρθῶς ἂν ἔχοι τὸ τοῦ Μίνω θέντος νόμους.(624 β) σαφέστατα κατηγορεῖ.

(624 β).

Ἀθην. «Νῦν οὖν καθ' Ὅμηρον λέγεις ὡς τοῦ Μίνω φοιτῶντος πρὸς τὴν τοῦ πατρὸς ἑκάστοτε συνουσίαν δι' ἐνάτου ἔτους καὶ κατὰ τὰς παρ' ἐκείνου φήμας ταῖς πόλεσιν ὑμῖν θέντος τοὺς νόμους;»

Τὸ φοιτᾶν πρὸς τὴν τοῦ πατρὸς συνουσίαν, πρᾶξιν δὴ οὖσαν καὶ οὐ χώραν δηλοῦσαν, πῶς ἂν ἐμμελῶς φθέγγοιτο, οὐδαμῇ ὂν οἷα τὰ ὀρθῶς ἔχοντα, ἅτ' ἐν τόπου μοίρᾳ ὄντα, φοιτᾶν εἰς ξυσσίτια

Digitized by Google

(πολ. 436), φοιτᾶν εἰς ταφὰς (Ἰσοκρ. 8, 25) καὶ τἄλλα τὰ τοιαῦτα; Ἴσως δ' ἂν τούτοις καὶ Πλουτάρχου τινὰ παραπλήσια προσθείημεν φοιτᾶν ἐπὶ δεῖπνον (Ἠθικ. 50 δ) φοιτᾶν ἐπὶ τράπεζαν (Κρασσ. 1).

(625 α).

Ἀθην. «Καὶ καλόν γε τὸ κλέος υἱεῖ τε Διὸς μάλα πρέπον». Τοῦ τέ ὀνόματα συνάπτοντος, οἷον καλὸν υἱεῖ τε πρέπον, εὐπορία μὲν τῷ ποιητικῷ ἐστι λόγῳ, σπάνις δὲ πολλὴ τῷ Ἀττικῷ, ἐρημία δὲ μυρία παρὰ Πλάτωνι. Ταὐτὰ δ' ἂν ψέγοι τις καὶ τὸ σμικρὸν προϊόντι (625 β) λόγοις τε παραμυθουμένους τὴν ὁδὸν διαπερᾶναι.

(625 α).

«Ἐπειδὴ δ' ἐν τοιούτοις ἤθεσι τέθραφθε νομικοῖς σύ τε καὶ ὅδε, προσδοκῶ οὐκ ἂν ἀηδῶς ἡμᾶς περὶ πολιτείας τε καὶ νόμων τὴν διατριβὴν λέγοντάς τε καὶ ἀκούοντας ἅμα κατὰ τὴν πορείαν ποιήσεσθαι».

Τῶν ὑστέρων ἂν εἴη καὶ τῆς κοινῆς φωνῆς λεγομένης τὸ ἤθεσι τεθράφθαι νομικοῖς· τὸ γὰρ νομικὸς συχνὸν παρ' ἐκείνοις ἐνταῦθα μόνον τῶν Ἀττικῶν συγγραφέων φαίνεται ὃν καὶ ἐν τῷ ὑποβολιμαίῳ Πλάτωνος Μίνῳ (317 ε). Τάχα δ' ἂν ἴσως καὶ γλῶσσα ὑστέρου ἑρμηνέως κέοιτο τόδε, τὸ δυσξύνετον δοκοῦν τοιούτοις ἀποσαφεῖν βουλομένου.

(625 β).

«Πάντως δέ ἥ γε ἐκ Κνώσου ὁδὸς εἰς τὸ τοῦ Διὸς ἄντρον καὶ ἱερόν, ὡς ἀκούομεν, ἱκανή, καὶ ἀνάπαυλαι κατὰ τὴν ὁδόν, ὡς εἰκός, πνίγους ὄντος τὰ νῦν ἐν τοῖς ὑψηλοῖς δένδρεσίν εἰσι σκιαραί, καὶ ταῖς ἡλικίαις πρέπον ἂν ἡμῶν εἴη τὸ διαναπαύεσθαι πυκνὰ ἐν αὐταῖς, λόγοις τε ἀλλήλους παραμυθουμένους τὴν ὁδὸν ἅπασαν οὕτω μετὰ ῥᾳστώνης διαπερᾶναι».

Μίμημα οὐ δεξιὸν ἔοικεν εἶναι ἅπας τε οὗτος ὁ λόγος τοῦ ἐν Συμποσίῳ (173 β) πάντως ἡ ὁδὸς ἡ εἰς ἄστυ ἐπιτηδεία πορευομένοις καὶ λέγειν καὶ ἀκούειν, καὶ τὸ σμικρὸν πρόσθεν λέγοντάς τε καὶ ἀκούοντας ἅμα τῆς πολλαχοῦ τῶν Πλάτωνος ἔργων ὁμοίας ῥήσεως οὔσης· πλὴν ἔλαθεν αὐτὸν ὁ μιμησάμενος καὶ οἰκεῖόν τι τῷ λόγῳ, ἀλλ' ἀνοίκειον προσθείς· Πλάτωνος γάρ τοι τῷ καὶ-καὶ ἢ καὶ

Digitized by Google

μόνον εἰς λόγον ἀεὶ τῷ ὀνόματι τούτῳ συνάγοντες, ὥστε τὸ ἄλογον δοκεῖν εἶναι ἅμα προσῆψεν. Ἄτοπον δ' οὐδὲ κατὰ Πλάτωνα καὶ τὸ ὑπερβατὸν ταῖς ἡλικίαις πρέπον ἂν ὑμῶν εἴη ἔοικεν εἶναι. (625 ε).

Κλ. «Καὶ μὴν ἔστι γε, ὦ ξένε, προϊόντι κυπαρίττων τε ἐν τοῖς ἄλσεσιν ὕψη καὶ κάλλη θαυμάσια καὶ λειμῶνες, ἐν οἷσιν ἀναπαυόμενοι διατρίβοιμεν ἄν».

Κυπαρίττων ὕψη καὶ κάλλη ποιητικῶς μετωνόμασται τὸ κυπάριττοι ὑψηλαὶ καὶ καλαί, σπανίζων μὲν ἴσως τῷ λόγῳ τῷ καταλογάδην, τῷ Πλάτωνος δὲ τρόπῳ ἐπιεικῶς διαφωνοῦν· εἰ γάρ τι καὶ τοιοῦτον ἐν τῷ νεανικῷ ἐνεανιεύσατο Φαίδρῳ, πλήθη καὶ ἀτοπίας φύσεων εἰπών (229 ε), ἔνθα διὰ τὸ πλήθη φύσεων κυρίως κείμενον καὶ ἀτοπίας συμμετρίας ἕνεκα ἐρρήθη, ἀλλ' οὖν οὔτ' ἂν ἐνταῦθά γε ἀκαίρως ὁ πρεσβυτικὸς ἡμῖν ἔπαιζεν ἤδη φιλόσοφος ποιητικῶς καλλωπιζόμενος, οὔτ' ἀλλαχοῦ πολλαχοῦ τῶν λεγομένων αὐτοῦ Νόμων (653 δ, 707 α). Τοιαῦτα δὲ μεταθέων πόλλ' ἂν εὕροις πάσχοντας τοὺς Ἀττικιστὰς τοὺς ὑστέρους, ποιητάς τε καὶ συγγραφέας Ἀττικοὺς μιμουμένους καὶ οὐ πρὸς τὴν ἐπ' αὐτῶν συγγράφοντας φωνήν.

(625 ε). Ὁ δὲ τὸ ἐν τοῦ ἐνταῦθα ἀνάπαυλαι ἐν δένδρεσι δύναται χαλεπῶς ἂν ἀλλαχοῦ τοῦ παντὸς Ἀττικοῦ λόγου εὕροιμεν σκοπούμενοι.

(625 ε). Τὸ δὲ λόγοις παραμυθομένους ἀλλήλους πολὺ λειπόμενον φαίνεται τῆς ὁμολογουμένης Πλάτωνος σαφηνείας τε καὶ ἀκριβείας, ἢ δήπου τὸν πόνον παραμυθουμένους μᾶλλον ἐχρῆν εἰπεῖν, καθάπερ ἀλλαχοῦ τε κυριώτερον αὐτῷ εἴρηται παραμύθια τῆς ὁδοῦ ποιεῖσθαι (632 ε) καὶ τὸ ἐνταῦθα μετὰ ῥαστώνης ἀξιοῖ.

(625 τ). Τί δ' ἂν κρίνειέ τις, καὶ σμικρὰ τῶν Πλάτωνος ἐφημμένος διαλόγων, τὸ τοῦ Ἀθηναίου ὀρθῶς λέγεις πρὸς οὐδὲν ἀμφισβητούμενον τοῦ Κλεινίου λεγόμενον καὶ τῆς ὁμολογίας τούτου δεόμενον; ὃ γὰρ ὅδε εἰρηκὼς τυγχάνει, πρέπον ἂν εἴη διαναπαύεσθαι ἐν ἀναπαύλαις, ταὐτόν που καὶ Κλεινίας καὶ οὐ πολύ τι διαφέρον ἀπεκρίνατο ἐν ἄλσεσιν εἰπὼν καὶ λειμῶσιν ἀναπαυόμενοι διατρίβοιμεν ἄν. Οὐ μόνον δὲ τοῦτο ἥκιστα Πλατώνειον εἶναι δοκεῖ, ἀλλὰ καὶ τὸ τούτου ἐχόμενον πάνυ μὲν οὖν οὐκ ἄλλως ἔχον ἂν εὕροις·

Digitized by Google

ἀργόν γάρ ἐστι καὶ ἄτοπον τὸ ῥῆμα, καὶ πρὸς τὸ ὀρθῶς λέγεις εἰ λέγοιτο, ᾗπερ Σταλλβαύμῳ δοκεῖ ἄγαν τῶν κειμένων ἀντεχομένῳ· οὕτω μὲν γὰρ καὶ πάνυ γε μᾶλλον ἂν εὐδοκιμοῖ Πλάτωνι λεγόμενον· ὡς δ' αὖ Ἄστος οἴεται, τοῦ Ἀθηναίου λόγον εἶναι τὸ πάνυ μὲν οὖν φάσκων, ἄμεινον ἂν εἶχεν ὀρθῶς γε λέγεις εἰπεῖν. Ὥστε οὔτε ταύτῃ οὔτε ἐκείνῃ δηλοῖ πρέπον τοῦτο Πλάτωνος ὄν. Ἀλλὰ μὴν καὶ ὅλος ὁ λόγος οὗτος ἄμουσός τις καὶ ἄχαρις δοκεῖ εἶναι, οὕτως ἀηδῶς περὶ τὴν ἡδονὴν τευτάζων τῶν ἀναπαυλῶν, ὑπερβαλλούσας πλήθει ῥήσεις περὶ ταὐτὸν ἀθροίσας, ὀρθῶς λέγεις, πάνυ μὲν οὖν, μᾶλλον φήσομεν, ἴωμεν τύχῃ ἀγαθῇ, ταῦτ' εἴη.

(625 γ).

Ἀθην. « Καί μοι λέγε κατὰ τὶ τὰ ξυσσίτιά τε ὑμῖν συντέταχεν ὁ νόμος καὶ τὰ γυμνάσια καὶ τὴν τῶν ὅπλων ἕξιν; Κλ. Οἶμαι μέν, ὦ ξένε, καὶ παντὶ ῥᾴδιον ὑπολαβεῖν εἶναι τά γε ἡμέτερα. Τὴν γὰρ τῆς χώρας πάσης Κρήτης φύσιν ὁρᾶτε, ὡς οὐκ ἔστι, καθάπερ ἡ τῶν Θεσσαλῶν, πεδιάς. Διὸ δὴ καὶ τοῖς μὲν ἵπποις ἐκεῖνοι χρῶνται μᾶλλον, δρόμοισι δ' ἡμεῖς ».

Ὑπολαβεῖν ἀντὶ τοῦ γνῶναι ἢ ξυνεῖναι, ὃ δὴ ἐνταῦθα βούλεται φράζειν, σὺν τῷ λόγον ἢ ὃ λέγω ἢ ὀρθῶς ἢ κάλλιστα καὶ τοῖς τοιούτοις εὕρηται ὀρθῶς λεγόμενον καὶ εὐδοκιμοῦν (ὡς ἐν Εὐρ. Ἰφιγ. Αὐλ. 523· ἐν Πλατ. Εὐθυδ. 259 β, Γοργ. 458 ε, Θεαιτ. 159 β), μετὰ δὲ τοῦ τὰ ἡμέτερα ἀκυρώτερον δὴ ἔχει, οὐδ' ἂν Πλάτωνι εἴη εἰρημένον δῆλον ὅτι.

(625 δ). Πεδιάς δ' ἀντὶ πεδίου μόνον ἐνταῦθα τοῦ Ἀττικοῦ ἐστι λόγου, τῶν δ' ἄλλων συγγραφέων Ἡροδότῳ εἰρημένον ὑπάρχει (9, 122). Οὐκ ἄλλως δ' ἂν ἔχον εὕροις καὶ τὸ σμικρὸν προϊόντι (626 δ) διανομοθετεῖν καὶ τὸ πολὺ προσωτέρω διανομοθετεῖσθαι (833 ε), ὅπερ Δίων ὁ Κάσιος μόνον θαμὰ φιλεῖ λέγειν, οὐδεὶς δ' ἄλλος οὔτε τῶν Ἀττικῶν οὔτε τῶν Ἀττικιστῶν συγγραφέων εἰρηκὼς τυγχάνει. Ἡδέως ἂν ἔγωγε ἤκουον ὅ,τι πρὸς ταῦτ' ἀντειπεῖν ἂν εἶχε Σταλλβαῦμος, χαριέστατ' ἀεὶ ὑπὲρ τῶν Νόμων τούτων Σισύφεια πάσχων, πάντα αὐτῶν τὰ περὶ τὴν νόσον ταύτην ἰατά τε καὶ ἀνήκεστα ἰᾶσθαι οἰόμενος.

Digitized by Google

(626 ^{δ}).

Κλ. «Τὸν λόγον ἐπ' ἀρχὴν ὀρθῶς ἀναγαγὼν σαφέστερον ἐποίησας, ὥστε ῥᾷον ἀνευρήσεις, ὅτι νῦν δὴ ὑφ' ἡμῶν ὀρθῶς ἐρρήθη τὸ πολεμίους πάντας πᾶσι δημοσίᾳ τε καὶ ἰδίᾳ ἑκάστους αὐτοὺς σφίσιν αὐτοῖς. Ἀθην. Πῶς εἴρηκας ὦ θαυμάσιε;»
Τὸ πῶς εἴρηκας, ὦ θαυμάσιε, ἀλόγως λεγόμενον οὐδένα λανθάνει καὶ ἀναξιώτατα Πλάτωνος· οὐδὲν γὰρ νεώτερον Κλεινίου τῶν ἄρτι Ἀθηναίῳ εἰρημένων εἰπόντος, ἀτόπως οὗτος θαυμάζων ταῦτα φθέγγεται πρὸς οὐδὲν καινὸν οὐδὲ θαυμαστὸν ἀντιλέγων.

(626 ^{ε}).

Κλ. «Κἀνταῦθα, ὦ ξένε, τὸ νικᾶν αὐτὸν ἑαυτὸν πασῶν νικῶν πρώτη τε καὶ ἀρίστη, τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ πάντων αἴσχιστον ἅμα καὶ κάκιστον».
Τῶν ὁμοίως ἀπορουμένων ἐστὶ καὶ τὸ κἀνταῦθα τὸ νικᾶν αὐτὸν ἑαυτὸν πασῶν νικῶν πρώτη τε καὶ ἀρίστη· καὶ ποῦ γὰρ ἀλλαχοῦ συμβαίνει τοῦτο γίγνεσθαι; οὐδὲν γὰρ ἐμοὶ Σταλλβαῦμος λέγειν δοκεῖ καὶ ἐν ἑνὶ ἀνδρὶ τὸ κἀνταῦθα σημαίνειν φάσκων, ὥσπερ εἰ τὸ νικᾶν αὐτὸν αὑτὸν καὶ ἐν πολλοῖς οἷόν τ' ἦν ἀνδράσι γενέσθαι.

(627 $^{\alpha}$). Λῆρος δὲ κενὸς ἂν δόξειεν εἶναι ὅπερ ἀπορούμενος δὴ τὸν Ἀθηναῖον Κλεινίας ἐρωτᾷ τὸ κρείττω τε ἑαυτῆς εἶναι λέγεις τινά, τὴν δὲ ἥττω; καὶ γὰρ ἂν ἀμβλύτατος ἀνὴρ τοῦ Ἀθηναίου ἀκούων ἐπειδὴ εἷς ἕκαστος ἡμῶν ὁ μὲν κρείττων αὑτοῦ, ὁ δὲ ἥττων ἐστί, πότερα φῶμεν οἰκίαν τε καὶ κώμην καὶ πόλιν ἔχειν ταὐτὸν τοῦτο ἐν αὑταῖς γνοίη ἂν ὅ,τι ποτὲ βούλοιτο λέγειν. Πλάτων γοῦν οὐδὲν ἂν τοιοῦτον ἄτοπον τοῖς διαλεγομένοις ἀποδοίη πάθος, ἀλλὰ μάλιστα πάντων εἰκότα παρ' αὐτῷ λέγουσί τε καὶ ἀκούουσιν.

(627 $^{\gamma}$).

Ἀθ. «Τὸ ὑπὸ σοῦ λεγόμενον μανθάνω νῦν, ὥς ποτε πολῖται ξυγγενεῖς καὶ τῆς αὐτῆς πόλεως γεγονότες ἄδικοι καὶ πολλοὶ ξυνελθόντες δικαίους ἐλάττους ὄντας βιάσονται δουλούμενοι, καὶ ὅταν μὲν κρατήσωσιν, ἥττων ἡ πόλις αὑτῆς ὀρθῶς αὕτη λέγοιτ' ἂν ἅμα καὶ κακή, ὅπου δ' ἂν ἡττῶνται, κρείττων τε καὶ ἀγαθή».

Digitized by Google

Καὶ τὸ καὶ μάλα ἄτοπον, ὦ ξένε, τὸ νῦν λεγόμενον, ὅμως δ' ὁμολογεῖν οὕτως ἀναγκαιότατον, καὶ τοῦτο, οὐδὲν δέον οὐδ' ἀναγκάζοντος τοῦ διαλόγου οὐδ' ὁπωστιοῦν, ὑπολαβὼν εἶπε Κλεινίας πρὸς τὰ ὑπὸ τοῦ 'Αθηναίου λεγόμενα, οὐδ' ἐρομένου ἐκείνου οὐδέν. Μόνον δ' ἵνα διάλογος δοκῇ γίγνεσθαι καὶ ἐνταῦθα καὶ πολλαχοῦ ἀλλαχοῦ ἄλογα καὶ ἄκαιρα ἀποκρινομένους ἢ λέγοντας τοὺς διαλεγομένους παρέχει ὁ τὸ σύγγραμμα ποιησάμενος, τὸ τοῦ Πλάτωνος ὄνομα ἀδικῶν καὶ αἰσχύνων.

(627 γ).

'Αθ. «Οὐκ ἂν εἴη πρέπον ἐμοί τε καὶ ὑμῖν **τοῦτο θηρεύειν**, ὅτι νικώντων μὲν τῶν πονηρῶν ἥ τε οἰκία καὶ ἡ ξυγγένεια πᾶσα ἥττων αὑτῆς λέγοιτ' ἄν, κρείττων δὲ ἡττωμένη».

Τὸ θηρεύειν τοῦτο πᾶς ἂν θαυμάσειεν, ὅπως χρήσεως καὶ ὀρθότητος ἔχει· τὸ γὰρ ὑγιὲς περὶ ταῦτα καὶ μάλιστ' ἐθιζόμενον θηρεύειν ὀνόματα ἥκιστ' ἐγχωρεῖ ἐπανορθώσει τεθῆναι, ὅπερ Βοῖκχος βούλεται, οὔτε τοῦ παντὸς ἑπομένου λόγου ἐῶντος τῆς τε παλαιογραφίας οὐ πάνυ τι δοκιμαζούσης· Σταλλβαύμῳ δὲ εἰκότως τὴν Βοίκχου ὑπόνοιαν οὐκ ἐπαινοῦντι ἧττόν τι τοῦ καινοῦ καὶ ἀήθους τῆς ὑπαρχούσης ῥήσεως μέλει.

(627 δ).

'Αθ. «Οὐκ εὐσχημοσύνης καὶ ἀσχημοσύνης ῥημάτων ἕνεκα τὰ νῦν σκοπούμεθα πρὸς τὸν τῶν πολλῶν λόγον, ἀλλ' ὀρθότητός τε καὶ ἁμαρτίας πέρι νόμων, ἥτις ποτέ ἐστι φύσει. Κλ. 'Αληθέστατα, ὦ ξένε, λέγεις. Μεγ. Καλῶς μὲν οὖν ὥς γε ἐμοὶ ξυνδοκεῖν, τό γε τοσοῦτον τὰ νῦν».

Τὸ καλῶς μὲν οὖν, ὥς γε ἐμοὶ ξυνδοκεῖν, τό γε τοσοῦτον τὰ νῦν, ὅπερ Μέγιλλος συνομολογῶν τοῖς λεγομένοις τῷ Κλεινίᾳ ἐπιφθέγγεται, γελοῖον αὐτὸν τοῦ λόγου κοινωνὸν ἀποφαίνει καὶ σκιὰν τοῦ Κλεινίου, ἄκοντος δῆλα δὴ τοῦ συγγραφέως· οὐδὲν γὰρ δεομένου τοῦ λόγου τῆς ὁμολογίας αὐτοῦ παρὰ προσδοκίαν ἐπιλαμβάνεται ξυγχωρῶν μόνον τοῖς λεγομένοις καὶ οὐδὲν νέον ἐπάγων, ἵνα δὴ μὴ σιγᾶν μόνον δοκοίη μηδὲ ἀπεῖναι τοῦ διαλόγου. Τοιαῦτα δὲ πρὸς τὸ ὁμαλὸν τοῦ τῶν λεγόντων ἤθους οὐδέποτε ἂν Πλάτων ἁμάρτοι.

(627 δ). Ἄλογον δ' οὐδὲν ἧττόν ἐστι καὶ τὸ ἐνταῦθα ὥς γε ἐμοὶ ξυνδοκεῖν· ἀπὸ τίνος γὰρ ἂν τῷ γε ἐμοὶ ὁ λέγων ἑαυτὸν διακρίνοι,

Digitized by Google

καὶ τῶν τριῶν παρόντων, Ἀθηναίου καὶ Κλεινίου καὶ Μεγίλλου ὁμολογούντων. ἀλλήλους καὶ πάντων τὸν λόγον ἐπαινούντων ὡς ὀρθῶς ἔχοντα καὶ ἀληθῆ; Εἰ μὲν γὰρ πρῶτος ὁ Μέγιλλος συνεχώρησε τοῖς ὑπ' Ἀθηναίου λεγομένοις, εἶχεν ἄν τινα λόγον τὴν Κλεινίου γνώμην μὴ εἰδότα καὶ ἀμφιγνοοῦντα ὅ,τι ἐκεῖνος ἐροῖ τὸ ὥς γε ἐμοὶ ξυνδοκεῖν ἐπειπεῖν· νῦν δὲ ταὐτὰ Μεγίλλῳ ἅπερ καὶ Κλεινίᾳ περὶ τοῦ λόγου δοκοῦν, πλημμελῶς δὴ ἔχει τὴν τούτου δόξαν τῆς ἐκείνου διάφορον ὑπονοεῖσθαι.

(628 α).

Ἀθ. «Τρίτον δέ που δικαστὴν πρὸς ἀρετὴν εἴπωμεν, εἴ τις εἴη τοιοῦτος, ὅστις παραλαβὼν συγγένειαν μίαν διαφερομένην μήτε ἀπολέσειε μηδένα, διαλλάξας δὲ εἰς τὸν ἐπίλοιπον χρόνον νόμους αὐτοῖς θεὶς πρὸς ἀλλήλους παραφυλάττειν δύναιτο ὥστε εἶναι φίλους».

Οὐ πάνυ δόκιμον εἶναι δοκεῖ καὶ τὸ νόμους αὐτοῖς τιθεὶς πρὸς ἀλλήλους· τῷ γὰρ ἀλλήλους οὐδέν ἐστι πρὸς τὸν ἐν τῷδε τῷ ῥήματι δρῶντα, τὸν τοὺς νόμους τιθέντα, ὥσπερ ἔμελλε τῇ συνηθείᾳ τοῦ Ἀττικοῦ λόγου ἑπόμενον, ἀλλὰ τοῦ γ' αὐτοῖς καινῶς καὶ ἀήθως ἅπτεται.

(628 β καὶ 633 ε).

Κλ. «Οὕτω πᾶς ἂν ἐθέλοι πρότερον ἢ 'κείνως περὶ τὴν ἑαυτοῦ γίγνεσθαι πόλιν».

Τὸ πρότερον ἀντὶ τοῦ μᾶλλον τί ὅτι μόνον Πλάτωνος ἐν νόμοις καὶ τῷ ἀμφιβόλῳ τὴν γένεσιν Λύσιδι (211 ε) εἰρημένον εὕρηται; Οὐ γὰρ οὖν Πλατώνειον ἔοικεν εἶναι τοῦτο οὕτω λεγόμενον· ἐπεὶ καὶ τοῦ παντὸς Ἀττικοῦ καταλογάδην λόγου οὐδαμοῦ ἂν ἀλλαχοῦ ἢ τοῦ Αἰσχίνου που (1, 10, 15) ἐντύχοις.

(628 γ).

Ἀθ. «Τό γε μὴν ἄριστον οὔτε ὁ πόλεμος οὔτε ἡ στάσις, ἀπευκτὸν δὲ τὸ δεηθῆναι τούτων, εἰρήνη δὲ πρὸς ἀλλήλους ἅμα καὶ φιλοφροσύνη».

Ἀλλὰ μὴν καὶ τὸ ἀπευκτὸν τῶν ἀλλοτρίων Πλάτωνος ἂν εἴη ὀνομάτων· καὶ γὰρ ἐν Ἀξιόχῳ (369) καὶ τῇ Ἐπινομίδι (353) ἔτι τοῖς ὁμολογουμένως νόθοις αὐτοῦ διαλόγοις, οὐδαμοῦ δ' ἀλλαχοῦ τοῦτο ἔτυχεν

Digitized by Google

εἰπών· τῶν δ' Ἀττικῶν ποιητῶν ἢ συγγραφέων Αἰσχύλος μόνος κεχρημένος φαίνεται (Ἀγαμ. 646. Ἱκετ. 792).

(628 γ). Τὸ δὲ φιλοφροσύνη τῶν Νόμων μόνον καὶ τῆς Ἐπινομίδος τῶν Πλάτωνος ἔργων ὄνομά ἐστιν, οὐκ ἄρ' ἀναμφισβητήτως Πλατώνειον. Πλούταρχος δὲ μάλιστα χαίρει αὐτῷ χρώμενος, τῶν δ' Ἀττικῶν Ξενοφῶν μόνον εἶπεν ἐν τῷ Συμποσίῳ (2, 24).

(628 δ).

«Καὶ δὴ καὶ τὸ νικᾶν, ὡς ἔοικεν, αὐτὴν αὑτὴν πόλιν οὐκ ἦν τῶν ἀρίστων, ἀλλὰ τῶν ἀναγκαίων· ὅμοιον ὡς εἰ (καὶ 369 γ) κάμνον σῶμα ἰατρικῆς καθάρσεως τυχὸν ἡγοῖτό τις ἄριστα πράττειν τότε, τῷ δὲ μηδὲ τὸ παράπαν δεηθέντι σώματι μηδὲ προσέχοι τὸν νοῦν».

Τὸ ὅμοιον ἴσα τῷ ὁμοίως δυνάμενον ἐν τοῖς νόμοις μόνον καὶ τῷ νόθῳ Ἀξιόχῳ τῶν Πλάτωνος διαλόγων εὕρηται λεγόμενον. Πᾶς δ' ἄν, οἶμαι, σωφρονῶν ὀκνοίη Πλάτωνος εἶναι τοῦτο νομίσαι· ἐπεὶ καὶ τῶν Ἀττικῶν συγγραφέων Θουκυδίδης μόνον οὕτως ἅπαξ φαίνεται εἰπὼν (1, 25). Οὕτω δὲ τῷ ὀνόματι τούτῳ χρωμένους ἂν εὕροιμεν τοὺς τραγικοὺς μάλιστα τῶν ποιητῶν καὶ τῶν συγγραφέων Ἡρόδοτόν τε καὶ Λουκιανόν.

(628 ε).

Κλ. «Φαίνεται μέν πως ὁ λόγος οὗτος, ὦ ξένε, ὀρθῶς εἰρῆσθαι· θαυμάζω γε μὴν εἰ τά τε παρ' ἡμῖν νόμιμα καὶ ἔτι τὰ περὶ Λακεδαίμονα μὴ πᾶσαν τὴν σπουδὴν τούτων ἕνεκα πεποίηται».

Ἐν τῷ τά τε παρ' ἡμῖν **καὶ ἔτι** τὰ περὶ Λακεδαίμονα νόμιμα τὸ καὶ ἔτι οὕτως ἐγγὺς τοῦ ἀντιστοιχοῦντος τὲ κείμενον οὐδεὶς ἂν τῆς Ἑλληνικῆς φωνῆς ἔμπειρος προσδοκήσειε ῥηθῆναι· τοῦ γὰρ τὲ καὶ διαφανῶς λόγους ἢ ὀνόματα πρὸς ἄλληλα τάσσοντος, τὸ ἔτι τὴν ἀναφορὰν ταύτην ταράττον αἴφνης ἐπελθὸν προστίθησι τὸ ὕστερον τῷ πρώτῳ, ὥσπερ ἂν εἰ τρίτον τι τοῖς πρόσθεν ῥηθεῖσι προσήχθη. Πλάτων δὲ οὔτε τοιοῦτόν τι οὐδαμοῦ ἐλέγχεται εἰπὼν οὔτε τὸ ἀλλαχοῦ που τῶν νόμων εἰρημένον τέ - ἔτι δὲ (746 α, 927 δ).

(629 α).

Ἀθ. «Τάχ' ἂν ἴσως· δεῖ δὲ οὐδὲν σκληρῶς ἡμᾶς αὐτοὺς

Digitized by Google

διαμάχεσθαι τὰ νῦν, ἀλλ' ἠρέμα ἀνερωτᾶν ,ὡς μάλιστα περὶ ταῦτα ἡμῶν τε καὶ ἐκείνων σπουδαζόντων».

Οἷον τὸ σκληρῶς βούλεται δηλοῦν τῷ διαμάχεσθαι συνεζευγμένον ἢ τῷ πορρωτέρω που τῶν νόμων ἀπειλεῖν (885 δ) οὐδὲ παρ' ἑνὶ μὲν τῶν Ἀττικῶν συγγραφέων ἂν εὕροιμεν ζητοῦντες, τῶν δ' Ἀττικιστῶν παρὰ Πλουτάρχῳ μόνον, σκληρῶς τὴν ὄψιν ἐνερείδειν (Ἠθικ. 586 γ).

(629 ϐ).

Ἀθ. «Ταῦτα γὰρ ἀκήκοάς που καὶ σὺ τὰ ποιήματα (τὰ Τυρταίου)· ὅδε μὲν γὰρ (ὁ Μέγγιλος), οἶμαι, διακορὴς αὐτῶν ἐστιν».

Πῶς οὐκ ἄν τις θαυμάσειεν ὁρῶν τῷ διακορὴς ἐν τοῖς νόμοις μόνον Πλάτωνα χρησάμενον (810 ε), ὅπερ Ἀττικισταὶ μόνον φαίνονται εἰπόντες, Πλούταρχός τε μάλιστα (Λυκ. 15) καὶ Δίων ὁ Κάσιος (ἀποσπ. σ. 60) καὶ Αἰλιανὸς (9, 8); Οἰκεῖον δὲ Πλάτωνος ἀντὶ τούτου ὄνομα ἔοικεν εἶναι ὁ κατακορής, ἐν Τιμαίῳ τε (68 γ) καὶ Φαίδρῳ εἰρημένον (246 ε).

(629 ϐ).

Ἀθ. «Ἴθι νῦν δὴ ἀνερώμεθα κοινῇ τουτονὶ τὸν ποιητὴν οὑτωσί πως· ὦ Τύρταιε, ποιητὰ θειότατε, δοκεῖς γὰρ δὴ σοφὸς ἡμῖν εἶναι καὶ ἀγαθὸς ὅτι τοὺς ἐν πολέμῳ διαφέροντας διαφερόντως ἐγκεκωμίακας».

Ἀποστροφὴν ἐν τῷ λόγῳ, οἷα ὦ Τύρταιε ποιητὰ θειότατε, καὶ ἐν ἄλλοις διαλόγοις εὑρίσκεται ὁ Πλάτων ποιησάμενος, μετρίαν μέντοι ταύτην καὶ κατὰ τρόπον τὸν προσήκοντα· νεώτερος μὲν γὰρ ὢν δίκαιος ἦν θερμοτέρους παρέχειν τοὺς διαλεγομένους, ὡς ἐν Γοργίᾳ, καὶ ἀποστροφαῖς ἐν τῷ λόγῳ χρωμένους, ἀκαιρότατα δ' ἂν τοῦτο ἐν τοῖς νόμοις ἐπετήδευσεν ἐν γήρᾳ ἤδη ὤν. Μιμητοῦ τινος ἄρα κινδυνεύει εἶναι τό τε ἀηδὲς καὶ ψυχρὸν ὡς τὸ πολὺ αὐτῶν καὶ τὸ ἄμετρον πλῆθος· δυοῖν γὰρ δέουσαι τριάκοντα ἀποστροφαὶ ὑπὸ Ζελλήρου ἐν τοῖς νόμοις ἠριθμήθησαν, ὅπερ καὶ μᾶλλον αὐτὸν πιστεύειν ἐποίησεν ὑποβεβλῆσθαι αὐτοὺς Πλάτωνι (Περὶ Πλάτωνος σελ. 128).

(629 δ).

«δύο (εἴδη πολέμου), τὸ μὲν ὃ καλοῦμεν ἅπαντες στάσιν, ὃς δὴ πάντων πολέμων χαλεπώτατος, τὸ δὲ ἄλλο πο-

Digitized by Google

λέμου θήσομεν, οἶμαι, γένος ἅπαντες, ᾧ πρὸς τοὺς ἐκτός τε καὶ ἀλλοφύλους χρώμεθα διαφερόμενοι, πολὺ πρᾳότερον ἐκείνου».

Ἐν τῇ ῥήσει οἱ ἐκτὸς καὶ ἀλλόφυλοι ἀλλότριον Πλάτωνος ἔοικεν εἶναι οἱ ἐκτός· οἱ γὰρ ἔξω ἀντὶ τούτου εἴωθε λέγειν, ὡς ἐν Φαίδρῳ καὶ Θεαιτήτῳ πολλάκις (247 γ, 248 α, - 144 γ, 199 γ) καὶ πολλαχοῦ τῶν ἄλλων αὐτοῦ διαλόγων. Ἄλλως δ' ἔχει ἐν Τιμαίῳ (46 α) τῆς ἐντὸς ἐκτός τε τοῦ πυρὸς ἑκατέρου κοινωνίας ἀλλήλοις· τῷ μὲν γὰρ ἐντὸς καὶ ἐκτὸς ὥσπερ ὁρίῳ χωρίζεσθαί τινα ἀλλήλων δοκεῖ, τῷ δὲ ἔνδον καὶ ἔξω ὥσπερ περιβόλῳ διείργεσθαι.

(630 α).

Ἀθ. «Ἡμεῖς δέ γε ἀγαθῶν ὄντων τούτων ἔτι φαμὲν ἀμείνους εἶναι καὶ πολὺ τοὺς ἐν τῷ μεγίστῳ πολέμῳ γιγνομένους ἀρίστους διαφανῶς».

Καὶ τὸ διαφανῶς ἐν τῷ διαφανῶς ἀρίστους καὶ πορρωτέρω που τῶν νόμων (802 α) διαφανῶς ἀγαθὸς θαυμαστὸν ὅτι μόνον ἐνταῦθα Πλάτωνος εἰρημένον τυγχάνει, τῶν δ' ἄλλων Ἀττικῶν συγγραφέων Θουκυδίδης μόνον ἅπαξ κεχρημένος εὕρηται (2, 65).

(630 α).

Ἀθ. «Ποιητὴν δὲ καὶ ἡμεῖς μάρτυρ' ἔχομεν Θέογνιν, πολίτην τῶν ἐν Σικελίᾳ Μεγαρέων».

Ὅπερ δὲ ὁ τοὺς Νόμους συγγράψας περὶ τὴν Θεόγνιδος σφάλλεται πατρίδα τῶν ἐν Σικελίᾳ Μεγαρέων εἶναι φάσκων, ἐλέγχεται δὲ ταῦτα πάσχων ὑπό τε Ἁρποκρατίωνος καὶ τοῦ Διδύμου, οὐκ ἂν δήπου Πλάτων αὐτὸς ἥμαρτεν· ὁ μὲν γὰρ «Οὗτος ἦν, φησί, Μεγαρεὺς ἀπὸ τῶν πρὸς τῇ Ἀττικῇ Μεγαρέων· αὐτός γάρ φησιν ὁ ποιητής· «ἦλθον μὲν γὰρ ἔγωγε καὶ εἰς Σικελὴν γαῖαν» ᾧ μὴ ἐπιστήσας Πλάτων ἐν α' Νόμων τῶν ἐν Σικελίᾳ Μεγαρέων πολίτην ἔφασκεν, κατηκολούθησαν δὲ τῷ Πλάτωνι οὐκ ὀλίγοι». Δίδυμος δὲ κατὰ τὸν σχολιαστὴν τῶν Νόμων τούτων ἐκ Μεγάρων τῆς Ἀττικῆς φησι γεγενῆσθαι ἐπιφυόμενος τῷ Πλάτωνι ὡς παριστοροῦντι. Οὐδὲν δ' ἐμοὶ δοκεῖ λέγειν ὁ σχολιαστὴς τῷ πλημμελεῖ συνηγορῶν τούτῳ λόγῳ· οὐδὲ γὰρ εἰ ποιητὸς πολίτης ὕστερον τῶν ἐν Σικελίᾳ Μεγάρων ἐγένετο, εἶχε λόγον οὐδένα Πλάτωνα Σικελιώτην αὐτόν, ἀλλὰ μὴ Μεγαρέα εἰπεῖν.

Digitized by Google

(630 ε).

Ἀθ. «Πιστὸς μὲν γὰρ καὶ ὑγιὴς ἐν στάσεσιν οὐκ ἄν ποτε γένοιτο ἄνευ ξυμπάσης ἀρετῆς· διαβάντες δ' εὖ καὶ μαχόμενοι ἐθέλοντες ἀποθνήσκειν ἐν τῷ πολέμῳ, φράζει Τύρταιος, τῶν μισθοφόρων εἰσὶ πάμπολλοι, ὧν οἱ πλεῖστοι γίγνονται θρασεῖς καὶ ἄδικοι».

Φράζει Τύρταιος ἀντὶ τοῦ φησὶ δῆλα δὴ ἢ τοῦ λέγει οὔτ' οὖν Πλάτων εἰρηκὼς τυγχάνει οὔτε τῶν Ἀττικῶν ἄλλος ἂν εἴποι· σαφῶς γὰρ ἐν τῷ φράζειν ἡ τοῦ δεικνύναι ἢ δηλοῖν ἢ σημαίνειν δύναμις κρατεῖ ἀλλοτριωτάτη τοῦ φάναι ἢ λέγειν ὑπάρχουσα, ἐπὰν ταῦτ' ἀπολελυμένα, ὥσπερ ἐνταῦθα, τῷ λόγῳ ἐντεθῆναι ξυμβαίνῃ. Οὐδὲν δ' ἔστι πρὸς τὸν λόγον ἡμῶν τοῦτον ὅτι Οὐιγκελμανὸς ᾧ φράζει Τύρταιος οἴεται τὸ πρῶτον ἐνταῦθα γεγράφθαι. Καίτοι καὶ τοῦτο Σταλλβαῦμος ἀποβάλλει ἐναντίον εἶναι ἡγούμενος ᾧ πᾶς ὁ λόγος οὗτος βούλεται δηλοῦν.

(630 γ).

Ἀθ. «Ἣν δ' αὖ (ἀρετὴν) Τύρταιος ἐπῄνεσε μάλιστα, καλὴ μὲν καὶ κατὰ καιρὸν κεκοσμημένη τῷ ποιητῇ, τετάρτη μέντοι ὅμως ἀριθμῷ τε καὶ δυνάμει τοῦ τιμία εἶναι λέγοιτ' ἂν ὀρθότατα».

Καὶ τὸ μέντοι ὅμως μόνον ἐνταῦθα οὕτως εἰρημένον εὕρομεν ζητοῦντες. Ὅμως μέντοι δὲ δοκίμως τεταγμένον ὑπάρχει κατά τε Ἀριστοφάνη οὕτως ἐν βατράχοις (61) καὶ σφηξὶν (1345) εἰπόντα καὶ κατὰ Πλάτωνος Κρίτωνα (54 δ), εἴπερ Πλάτωνος ὁ Κρίτων ἐστί, Μενέξενον δ' οὐ λέγω (92 ε)· ὁμολογουμένως γὰρ ψευδοπλάτωνός τινος τυγχάνει ὤν. Κατὰ ταὐτὰ δὲ καὶ ὡσαύτως ἔχει καὶ περὶ τὸ ὅμως μὴν εἰ χρὴ Πλάτωνί τε (πολιτ. 297 δ) καὶ Ἀριστοφάνει πείθεσθαι (νεφ. 631).

(330 δ).

Κλ. «ὦ ξένε, τὸν νομοθέτην ἡμῶν ἀποβάλλομεν εἰς τοὺς πόρρω νομοθέτας;».

Τί ἂν ὑπολάβοιμεν τοὺς πόρρω νομοθέτας; οὐδὲν γὰρ εὐξύνετόν ἐστιν, πόρρω δὲ τῆς ὁμολογουμένης Πλάτωνος σαφηνείας. Ἀπορίᾳ δ' οὖν καὶ Σταλλβαῦμος ἐχόμενος τοὺς ἥττους νομοθέτας ἑρμηνεύων ῥᾳδίως ἀπαλλάττεται, τὸ νομοθέτας μόνον ἀπεῖναι βουλόμενος, ἵνα

Digitized by Google

μὴ δὴ λίαν ἐγγὺς τοῦ ἄρτι εἰρημένου νομοθέτην ὃν ἄχαριν τὸν λόγον ἀπεργάζηται.

(330 δ).

Κλ. «Τὸ δὲ πῶς χρὴν ἡμᾶς λέγειν; Ἀθ. Ὥσπερ τὸ ἀληθές, οἶμαι, καὶ τὸ δίκαιον ὑπέρ γε θείας (πολιτείας) διαλεγομένους λέγειν, οὐχ ὡς πρὸς ἀρετῆς τι μόριον, καὶ ταῦτα τὸ φαυλότατον, ἐτίθει βλέπων (ὁ νομοθέτης), ἀλλὰ πρὸς πᾶσαν ἀρετήν, καὶ κατ' εἴδη ζητεῖν αὐτῶν τοὺς νόμους, οὐ δ' ἅπερ οἱ τῶν νῦν εἴδη προτιθέμενοι ζητοῦσιν».

Ὑπέρ τινος ἴσα τῷ περί τινος δυνάμενον, ὡς τῇδέ που ὑπὲρ θείας διαλεγομένους, Δημοσθένους καὶ τῶν κατ' αὐτὸν ῥητόρων οἰκεία ἐστὶ ῥῆσις, Πλάτων δ' ἐν τοῖς νόμοις (καὶ 776 ε) ταύτῃ κέχρηται μόνον καὶ τοῖς ὑποβολιμαίοις Μενεξένῳ καὶ Ἀπολογίᾳ (238 α 392)· ὃ δὴ καὶ τοὺς νόμους οὐκ ἄλλως ἔχοντας μηνύει.

Ἐν παντὶ δὲ τῷ λόγῳ τούτῳ πολλοῖς μὲν ἀσαφέσι, πολλοῖς δὲ διαστρόφοις ἂν προσπταίσαιμεν διεξιόντες· πρῶτον μὲν γὰρ ζητεῖν ὀρθῶς ἂν εἶχεν ἐζήτει λεγόμενον· ἔπειτα τὸ αὐτῶν πότερα φῶμεν σημαίνειν ἀρετῶν ἢ νόμων; ἀμφοτέρως δὲ θαυμαστὸν καὶ ἄτοπον δοκεῖ εἶναι. Ῥητορικῶς δὲ τὰ ὀνόματα σκολιώτερον ἢ κατὰ Πλάτωνα κεκόσμηται καὶ ᾗ μᾶλλον οἱ Ἀττικισταὶ χαίρουσι τάσσοντες, μαθήσει, ἀλλ' οὐ φύσει ἑπόμενοι, οἷον εἴδη ζητεῖν αὐτῶν, οἱ τῶν νῦν εἴδη προστιθέμενοι.

(631 α)

Ἀθ. «Ἡμεῖς δέ φαμεν εἶναι τὸ περὶ νόμους ζήτημα τῶν εὖ ζητούντων, ὥσπερ νῦν ἡμεῖς ἠρξάμεθα· καὶ σοῦ τὴν μὲν ἐπιχείρησιν τῆς ἐξηγήσεως ἄγαμαι».

Ἀλλὰ μὴν καὶ τὴν ἐξήγησιν οὐκ ἔοικε Πλάτων τὸ παράπαν εἰπεῖν· τί γὰρ ἂν παθὼν μόνος τῶν Ἀττικῶν ὀνόματι ἐχρήσατο, ὃ δὴ Πολυβίου μάλιστα καὶ Διοδώρου φαίνεται ὄν;

(631 γ).

Ἀθ. «Ἤρτηται δ' ἐκ τῶν θείων (ἀγαθῶν) θάτερα (τὰ ἀνθρώπινα), καὶ ἐὰν μὲν δέχηταί τις τὰ μείζονα πόλις κτᾶται καὶ τὰ ἐλάσσονα, εἰ δὲ μή, στέρεται ἀμφοῖν».

Οὐ σμικρὸν δ' ἡμῖν δοκεῖ εἶναι πρὸς ὃ τείνομεν οὐδὲ λόγου ἀνάξιον ὅτι μείζονά τε καὶ ἐλάττονα ἐνταῦθα λέγεται, ἀλλ' οὐ μείζω

καὶ ἐλάττω· τὰ γὰρ βραχύτερα τῶν τοιούτων ὀνομάτων εἴδη φίλα Πλάτωνι καὶ οἰκεῖα εὑρίσκεται ὄντα πλὴν που ἐν Τιμαίῳ (75 δ), ἐπιτηδειοτέρων τῷ μεγαλείῳ ἐκεῖ λόγῳ τῶν μακροτέρων οὐσῶν μορφῶν.

(631 γ)

Ἀθ. «Ὃ δὲ πρῶτον αὖ τῶν θείων ἡγεμονοῦν ἐστιν ἀγαθῶν, ἡ φρόνησις».

Τὸ ἡγεμονοῦν μόνον ἐνταῦθ' ἂν λάβοιμεν θηρῶντες καὶ δίς που ἐν τῷ μεγαλείῳ διαλόγῳ Τιμαίῳ (41 καὶ 70), οἰκειότατον ἐκεῖ τῇ φύσει κείμενον τοῦ λόγου, ἡγεμονεῦον δ' ἄλλως Πλάτων πανταχοῦ εὑρίσκεται λέγων. Οὐκ ἂν οὖν θαυμάζοιμι εἰ μιμήσεως ἔργον εἴη ἡ τοῦ ἡγεμονοῦν ἐνταῦθα χρῆσις.

(631 δ).

Ἀθ. «Μετὰ δὲ ταῦτα τὰς ἄλλας προστάξεις τοῖς πολίταις εἰς ταῦτα βλεπούσας αὐτοῖς εἶναι δικελευστέον».

Τὴν πρόσταξιν τί παθὼν Πλάτων μόνον ἐν νόμοις εἰπεῖν ἐβουλήθη, τῷ προστάγματι ἀείποτε χρώμενος καὶ οὕτω τὸ πρᾶγμα φράζειν φιλῶν; Οὔκουν ἔοικε Πλάτων εἶναι ὁ περὶ τοὺς νόμους τούτους τὴν διατριβὴν ποιησάμενος.

(631 δ).

«Μετά τε ταῦτα ἐν ταῖς τῶν παίδων γεννήσεσι καὶ τροφαῖς, ὅσοι τε ἄρρενες καὶ ὅσαι θήλειαι, νέων τε καὶ ἐπὶ τὸ πρεσβύτερον ἰόντων μέχρι γήρως τιμῶντα ὀρθῶς ἐπιμελεῖσθαι δεῖ καὶ ἀτιμάζοντα».

Μόλις ἄν τις Σταλλβαύμῳ πεισθείη τὸ τῇδέ που νέων τε καὶ ἐπὶ τὸ πρεσβύτερον ἰόντων γενικὴν τοῦ ποιοῦντος τῆς γεννήσεως τε καὶ τροφῆς ἔχεσθαι νομίζοντι· οὐ γὰρ ἂν δήπου Πλάτων ἀσάφειαν καὶ σκότον τοιοῦτον ἐν λόγοις ἂν ὦφλεν. Οὐδ' ἂν εἴη δῆτα Πλάτωνος τὸ οὕτως ἄχαρι καὶ ἀηδὲς τοῦ λόγου τὸ ἐκ τοῦ μετὰ δὲ ταῦτα καὶ μετὰ δὲ ταῦτα καὶ μετά τε ταῦτα, ἐγγύτατα καὶ παρ' ἄλληλα λεγομένων, γιγνόμενον.

Τὸ δὲ ἐπιμελεῖσθαι οὕτω λεγόμενον καθ' ἑαυτὸ καὶ ἐρῆμον οἷς ἂν ἀναφέροιτο ἄηθες παντάπασίν ἐστι καὶ καινόν. Ἐν Νόμοις δὲ μόνον οὕτως ἔχον, μετοχῇ που παρακείμενον, εὕρηται (932 δ), οἱ δ' ἐπιμελείσθων κολάζοντες τοὺς ἀδικοῦντας.

Digitized by Google

(631 ε).

«Ἐν ὀργαῖς τε αὖ καὶ ἐν φόβοις, ὅσαι τε διὰ δυστυχίαν ταραχαὶ ταῖς ψυχαῖς γίγνονται καὶ ὅσαι ἐν εὐτυχίαις τῶν τοιούτων ἀποφυγαί, ... ἐν πᾶσι τοῖς τοιούτοις τῆς ἑκάστων διαθέσεως διδακτέον καὶ ὁριστέον τό τε καλὸν καὶ μή».

Ἡ ῥῆσις ὅσαι τε ταραχαὶ καὶ ὅσαι ἀποφυγαὶ καὶ ἡ σμικρὸν πρόσθεν λεχθεῖσα ὅσαι τε ἄρρενες καὶ ὅσαι θήλειαι οὐ πάνυ τι οἰκεία Πλάτωνος ἐλεγχομένη, θαυμαστὸν ὅτι οὕτω θαμὰ ἐν νόμοις ἐν χρείᾳ οὖσα τυγχάνει.

(632 б).

«Μετὰ δὲ ταῦτα ἀνάγκη τὸν νομοθέτην . . . τοῖς μὲν εὐπειθέσι τῶν νόμων τιμὰς ἀπονέμειν, τοῖς δὲ δυσπειθέσι δίκας τακτὰς ἐπιτιθέναι».

Τῷ εὐπειθεῖ τῶν νόμων ὅμοιόν τι ἢ παραπλήσιον οὐδαμοῦ τοῦ Ἀττικοῦ λόγου παντὸς ζητῶν ἂν εὕροις· Ἡρόδοτος μὲν γὰρ ἀρχαϊκώτερον ἔχων τε καὶ φθεγγόμενος εἶπε πολλάκις πείθεσθαί τινος (1, 128. 5, 29. 32. 6, 12). Τὸ δὲ Θουκυδίδειον πάντα σφῶν πείθεσθαι (7, 73) ἄλλως ἂν ἔχοι ὀρθῶς σκοποῦντι καὶ λογιζομένῳ· τὸ γὰρ σφῶν δῆλον ὅτι γενική τίς ἐστιν ἡ τοῦ κεκτημένου λεγομένη, οἷα ἡ ἐν τοῖς ἀκούειν τινός τι ἢ γιγνώσκειν τινός τι καὶ τοῖς τοιούτοις, ἃ οὐδεὶς ὅστις οὐκ οἶδε πάγκοινα ὄντα. Εἰ δέ τις τὸ παρὰ Ξενοφῶντι τῆς Κύρου που Παιδείας (4, 5, 19) ἀπειθεῖν καλοῦντος ἐνθυμούμενος ἐπικουρεῖν τῷ λόγῳ βούλοιτο, ὡς οὐδὲν καινόν, οὐδ' ἄτοπον τὸ εὐπειθὴς τῶν νόμων εἴη, γνώτω ὅτι Κυνήρου μόνου, τοῦ ἄγαν περὶ ταῦτα εὐκόλου, συμμάχου ἂν τύχοι, γενικὴν ἀπόλυτον ταύτην εἶναι τῶν ἄλλων ἁπάντων ἡγουμένων. Ἡ δὲ δὴ Στεφάνου δόξα, ὡς ἂν τῷ νόμῳ ἀντὶ τῶν νόμων ἐνταῦθα κέοιτο, οὐ πολύ τι ἐπὶ σκοπὸν βάλλουσα ἐλέγχεται· πᾶς γὰρ αἰσθάνεται ὡς οὐ περὶ νόμου τινὸς ἐν τοῖς πρόσθεν εἰρημένου ὁ γ' ἐνταῦθα λόγος ἐστίν, ἀλλ' ἁπλῶς περὶ τῶν νόμων.

(632 δ).

Ἀθ. «Οὕτως, ὦ ξένοι, ἔγωγε ἤθελον ἂν ὑμᾶς καὶ ἔτι νῦν βούλομαι διεξελθεῖν πῶς ἐν τοῖς τοῦ Διὸς λεγομένοις νόμοις. . . . ἔνεστί τε πάντα ταῦτα, καὶ ὅπῃ τάξιν τινὰ εἴλη-

Digitized by Google

φότα διάδηλά ἐστι τῷ περὶ νόμων ἐμπείρῳ τέχνῃ εἴτε καί τισιν ἔθεσι, τοῖς δὲ ἄλλοις ἡμῖν οὐδαμῶς ἐστι καταφανῆ».

Ἔμπειρον περί τινος, ὥσπερ ὧδε περὶ νόμων, οὐδεὶς τῶν Ἀττικῶν ποιητῶν ἢ συγγραφέων, ὡς γ' ἔμ' εἰδέναι, εἰρηκὼς τυγχάνει, ἀλλ ἀείποτε ἔμπειρός τινος ἢ ἔμπειρος περί τι εὕρηται λεγόμενον, οἷον ἐν Πλάτωνος Τιμαίῳ τε (29 α) καὶ Πολιτείᾳ (582 α, 651 δ) καὶ Πολιτικῷ (29 Υ) καὶ ἐν Ξενοφῶντος Ἑλληνικοῖς τε (1,6,5) καὶ Κυνηγετικῷ (16, 8) καὶ τῆς Θουκυδίδου συγγραφῆς πολλαχοῦ (1, 80. 6, 34). Ἔμπειρον δὲ περὶ λόγων μόνον ὁ περὶ Ἀντεραστὰς τοὺς Πλάτωνος λεγομένους τὴν πραγματείαν ποιησάμενος εἶπέ που (133 δ) ἀδόκιμος ἀδόκιμα ἢ ἀήθη φθεγγόμενος. Οὐδὲν δ' αὖ οὐδαμῶς ἂν ἀνύτοι, ἥν τις τῷ περὶ τῶν νόμων ἐμπείρῳ τούτῳ συνηγορῶν τὸ ἐν Τιμάρχῳ που τοῦ Αἰσχύνου ἡμᾶς ὑπομιμνήσκῃ, (83) «περὶ τῆς ἐρημίας ταύτης καὶ τοῦ τόπου τοῦ ἐν τῇ Πυκνὶ μὴ θαυμάσητε, ὦ Ἀθηναῖοι, εἰ Τίμαρχος ἐμπειροτέρως ἔχει τῆς βουλῆς τῆς ἐξ Ἀρείου Πάγου»· διττὸν γὰρ ἂν ἔχοι τὸν λόγον τὸ περὶ τῆς ἐρημίας ἐμπειροτέρως ἔχειν οὕτω λεγόμενον· ἢ γὰρ πολὺ πόρρω τοῦ ἐμπειροτέρως ἔχειν τὸ περὶ τῆς ἐρημίας προταχθὲν ἕλξιν τιν' εὔλογον ὑπὸ τοῦ θαυμάσητε ἔτυχε παθὸν κατὰ τὸ πρόληψιν σχῆμα καλούμενον, ἢ τοῦ σαφοῦς χάριν, ὅπως μὴ δὴ τὸ ἐρημίας ὁ τῆς παραβολῆς ὅρος δεύτερος τοῦ ἐμπειροτέρως εἶναι δοκοῖ, ἐλέχθη περὶ τῆς ἐρημίας. Ἀλλὰ μὴν καὶ εἰ μή τις οὕτως ἔχειν ἐθέλοι πείθεσθαι, οὐδὲν ἂν δήπου ἀντειπεῖν ἔχοι ὅτι τὸ ἐμπείρως ἔχειν οὐ ταὔτ' ἀκριβῶς εἰπεῖν τῷ ἔμπειρον εἶναι δυνάμενον τῷ ἐπίστασθαι μᾶλλον πλησιάζειν ἔοικε, καὶ εἰκότως ἂν ὥσπερ ἐπίστασθαι οὕτω καὶ ἐμπείρως ἔχειν περί τινος ἂν λέγοιτο.

(632 δ).

Ὁ δὲ πρὸς ταὖτ' ἀπορῶν Κλεινίας τὸν Ἀθηναῖον ἐρωτᾷ «πῶς οὖν, ὦ ξένε, λέγειν χρὴ τὰ μετὰ ταῦτα;» ἀργὸν εἶναι δοκεῖ καὶ μάταιον ἀνδρὶ λογιζομένῳ ἢ καὶ σμικρὰ διαλόγοις Πλάτωνος συγγενομένῳ καὶ κοινωνήσαντι· τοῦ γὰρ πρόσθεν λόγου πέρας τι λαβόντος καὶ οὐδὲν ἐνδεὲς ἀπολιπόντος, ὃ ἂν ὀρθῶς διαλεγόμενος ἀποπληροῖ τε Κλεινίας καὶ εἰς τὸ πρόσω ἰέναι τὸν διάλογον συμβάλλοιτο, οὐδὲν δέον οὐδὲ κατὰ λόγον τὸν προσήκοντα οἷον γίγγλυμός τις μόνον ἢ ἀκαι-

Digitized by Google

ρον προοίμιον τοῦ ἐχομένου τούτοις λόγου ταῦθ' οὕτως ἐρωτηθέντα φαίνεται.

(633 α).

'Αθ. «Τὰ ξυσσίτιά φαμεν καὶ τὰ γυμνάσια πρὸς τὸν πόλεμον ἐξευρῆσθαι τῷ νομοθέτῃ; Μεγ. Ναί. 'Αθ. Καὶ τρίτον καὶ τέταρτον; Ἴσως γὰρ ἂν οὕτω χρείη διαριθμήσασθαι καὶ περὶ τῶν τῆς ἄλλης ἀρετῆς εἴτε μερῶν εἴτε ἅττ' αὐτὰ καλεῖν χρεὼν ἐστι δηλοῦντα μόνον ἃ λέγει».

Μὴ ἀτιμάσωμεν εἰπεῖν, εἴ τῳ καὶ σμικρὸν δοκεῖ εἶναι καὶ φαῦλον, ὅτι καὶ διαριθμεῖσθαι περί τινος, οἷον περὶ τῶν τῆς ἀρετῆς μερῶν, μόνος ὁ τὸν διάλογον τοῦτον Πλάτωνι ὑποβαλὼν ἁλίσκεται εἰπών, τῶν δ' Ἀττικῶν οὐδενὶ τῇ ῥήσει κεχρημένῳ ἐνετύχομεν, ἥ πού γε δὴ Πλάτωνι· πάντες δὲ διαριθμεῖσθαί τι λέγειν εἰώθασι.

(633 α).

Διεξιὼν δ' ἐνταῦθά που τὰ τῆς ἀνδρείας ἐπιτηδεύματα καὶ μελετήματα πρῶτον μὲν παράδειγμα τὸν τρόπον τῆς τούτων διεξόδου φησὶ κείσεσθαι πρὸς τὸν περὶ τῶν ἄλλων ἀρετῶν λόγον, φρονήσεώς τε καὶ σωφροσύνης καὶ δικαιοσύνης. Εἶτα δὲ τὰ ἐν Σπάρτῃ τοιαῦτ' ἀριθμῶν ἐπιτηδεύματα, συσσίτιά τε καὶ γυμνάσια καὶ ἕτερα τρίτα καὶ τέταρτα λέγων, τάδε τελευτῶν ἐπιλέγει, «Ἴσως γὰρ ἂν οὕτω χρείη διαριθμήσασθαι καὶ περὶ τῶν τῆς ἄλλης ἀρετῆς εἴτε μερῶν εἴτε ἅττ' αὐτὰ καλεῖν χρεὼν ἐστι δηλοῦντα μόνον ἃ λέγει». Πᾶς δ' ἂν νομίσειε, ταῦθ' οὕτως εἰρημένα ἀκούσας, οὐ πολὺ πόρρω προϊόντα τὸν συγγράψαντα, τὸν περὶ ἀνδρείας λόγον περάναντα, καὶ περὶ τῶν ἄλλων ἤδη ἀρετῶν κατὰ ταὐτὰ καὶ ὡσαύτως τὴν πραγματείαν ποιήσεσθαι, τὰ διαρρήδην αὐτῷ ἐπηγγελμένα τελοῦντα. Ἀλλ' οὐ μόνον ἐν τῷ βιβλίῳ τούτῳ καὶ τοῖς ἐχομένοις οὐδένα περὶ τούτου ζητῶν ἂν εὕροις λόγον, ἀλλ' οὐδαμοῦ τῶν νόμων πάντων ὅμοια ἢ παραπλήσια περὶ τῶν ἄλλων τῆς ἀρετῆς εἰδῶν ἡμῖν γε μετιοῦσι προσέπεσε λεγόμενα. Τὸ δέ που προϊόντι (635 ε) λεγόμενον, «Εἰ τὸ μετὰ ταῦτα

Digitized by Google

διεξίοιμεν ὧν προυθέμεθα, ὦ Κλεινία τε καὶ Λακεδαιμόνιε ξένε, (μετ' ἀνδρείαν γὰρ δὴ σωφροσύνης πέρι λέγωμεν) τί διαφέρον ἐν ταύταις ταῖς πολιτείαις ἢ ταῖς τῶν εἰκῇ πολιτευομένων εὑρήσομεν;» τοῦτο τῷ λόγῳ προστεθῆναι δοκεῖ, ἵνα μηδὲν περὶ σωφροσύνης ἴδιον λεχθῇ, ἀλλά, Μεγίλλου ἀποκρινομένου, πάντα τὰ περὶ ταύτης ἐν τοῖς πρόσθεν περὶ ἀνδρείας εἰρῆσθαι φανῇ· λέγει γὰρ οὗτος «σχεδὸν οὐ ῥᾴδιον· ἀλλ' ἔοικε γὰρ τά τε συσσίτια καὶ τὰ γυμνάσια καλῶς ηὑρῆσθαι πρὸς ἀμφοτέρας». Οἷς δὲ Βοῖκχός τε τῇ ἀταξίᾳ τούτων συνηγορῶν φησι καὶ Ζελλῆρός τε Σουσεμίλης κάλλιστά μοι δοκεῖ Βροῦγκος ἀντειπεῖν (1). Τοιούτου δὲ περὶ τὴν πραγματείαν συγγραφικοῦ κακοῦ οὐκ ἂν οὖν ἔγωγε Πλάτωνα αἰτιασαίμην, ἀλλ' ἕτερον.

(633 α).

Ἡ δὲ τοῦ χρεὼν εἶναι χρῆσις οὕτως ἄμετρος πλήθει ἐν Νόμοις ἐστὶν (καὶ 661 ε, 688 α, 698 α, 779 α, 809 α, 861 γ, 872 ε, 928 δ καὶ ἄλλοθι), τρὶς ἢ τετράκις αὖτ' ἄλλοθι Πλάτωνος εἰπόντος, ἐν Τιμαίῳ τε (55 δ, 21 α) καὶ ἐν Σοφιστῇ (223 γ) καὶ ἐν Κριτίᾳ (107 β), ὥστε οὐκ ἂν ἀπεικότως τεκμαιροίμεθα μιμήσεως πάθος τοῦτο τὸν τοὺς Νόμους συγγράψαντα παθεῖν· περὶ γάρ τοι τοὺς μιμουμένους συμβαίνει δήπου τοῦτο γίγνεσθαι, περὶ ταὐτὰ ὀνόματα ἢ ῥήσεις ἄγαν ταυτάζειν.

(633 β).

Μεγ. «Ἔτι τοίνυν καὶ τὸ τέταρτον ἔγωγε πειρῴμην ἂν λέγειν, τὸ περὶ τὰς καρτερήσεις τῶν ἀλγηδόνων . . . . ἔτι δὲ καὶ κρυπτεία τις ὀνομάζεται θαυμαστῶς πολύπονος πρὸς τὰς καρτερήσεις . . . Ἔτι δὲ κἂν ταῖς γυμνοπαιδίαις δειναὶ καρτερήσεις γίγνονται παρ' ἡμῖν».

Ἀλλὰ μὴν καὶ τὸ πολλαχῇ ἀπειρόκαλον τῆς περὶ τὸν λόγον αὐτὸν πραγματείας τοῦ τῶν Νόμων ἡμῖν συγγραφέως ἥκιστα Πλάτωνα αὐτὸν ὄντα μηνύει· πῶς γὰρ ἂν Πλάτων ἐνταῦθά που ἀνάσχοιτο λέγων

(1) Plato's Gesetze S. 142-144.

Digitized by Google

ἔτι τοίνυν καὶ τὸ τέταρτον ἔγωγε πειρῴμην ἂν λέγειν καὶ τὰ τούτων ἐχόμενα ἔτι δὲ κρυπτεία τις ὀνομάζεται καὶ εὐθὺς μετὰ ταῦτα ἔτι δὲ κἂν ταῖς γυμνοπαιδίαις δειναὶ καρτερήσεις παρ' ἡμῖν γίγνονται; Πάντες δὲ ἴσμεν ὅσα Πλάτων μηχανᾶσθαι φιλεῖ ὅπως ἂν τὸν λόγον ποικίλον καὶ χαρίεντα καὶ κομψὸν ἀπεργάζηται.

(633 6).

Τὸ δ' ὄνομα κρυπτείαν τῶν Ἀττικῶν μόνος ὁ συγγραφεὺς ἡμῖν οὗτος φαίνεται εἰπὼν ἐνταῦθά τε καί που προϊὼν (760), τῶν ὑστέρων οἰκεῖον εἶναι δοκοῦν· θαμὰ γοῦν Πλούταρχος ἔοικε κεχρῆσθαι· ἴδοις γὰρ ἂν αὐτὸ ἐν Λυκούργου τε (28) καὶ Κλεομένους βίῳ (28). Τοῦ δ' ἔργου αὐτοῦ τούτου ἢ καὶ τοιούτου τινὸς Θουκυδίδης τέ που (4, 80) καὶ Ἰσοκράτης ἐν Παναθηναϊκῷ (181) μνησθέντες, οὐδὲν αὐτὸ ὄνομα ὠνόμασαν.

(633 6).

Οὐδὲν δ' οἶμαι περὶ σμικρὰ σπουδάζοντος εἶναι καὶ τόδε τῶν Νόμων τούτων κατειπεῖν καὶ οὐκ ἀνέλεγκτον ἐᾶσαι· ὁ γὰρ πολύπονος τοῦ ποιητικοῦ λόγου ὄνομα τυγχάνει ὤν, πολλάκις τραγῳδοποιοῖς καὶ Πινδάρῳ εἰρημένον, Αἰσχύλῳ μὲν ἐν Ἱκέτισι καὶ Πέρσαις, Σοφοκλεῖ δὲ ἐν Φιλοκτήτῃ καὶ Ἠλέκτρᾳ, Εὐριπίδῃ δ' ἐν Φοινίσσαις καὶ ἄλλοθι, τοῦ δὲ καταλογάδην παντὸς Ἀττικοῦ λόγου κύριον ἀντὶ τούτου ὃν ὁ ἐπίπονος ὄνομα εὑρίσκεται ἢ ἐπιπονώτατος· χαίρει γοῦν Θουκυδίδης τε πολλὰ χρώμενος (1, 70. 2, 39. 8, 11) καὶ Ξενοφῶν καὶ Πλάτων (ἐν Ἀναβάσει 1, 3, 19, ἐν Κύρου Παιδείᾳ 8, 1, 29. 2, 31. Ἐν Πολιτείᾳ 329 δ, ἐν Φαίδρῳ 229 δ). Πολύπονον δὲ τῶν Ἀττικιζόντων συγγραφέων Πλούταρχος ἐν Τιμολέοντί που εἶπε (35). Καὶ τῇ πολυπονίᾳ δ' ἐν Ἀντερασταῖς ἂν Πλάτωνος ἐντύχοις, οἷς γε οὐδὲν προσήκειν Πλάτωνος πρὸς πάντων δὴ ὁμολογεῖται. Καὶ μὴν καὶ πρὸς τὰς καρτερήσεις τὸ πολύπονος ἀτόπως ἔχει λεγόμενον· τίνα γὰρ ἂν τρόπον ὁ πολύπονος τὸν πολὺ

Digitized by Google

ἀσκητικὸν σημαίνοι, ἵνα πρὸς τὸ καρτερήσεις ἐμμελῶς φθέγγοιτο; Ἐγὼ μὲν οὐκ οἶδα, οὐδέ γε Πλάτων μὰ Δία.

(633 γ).

«Χειμώνων τε ἀνυποδησίαι καὶ ἀστρωσίαι καὶ ἄνευ θεραπόντων αὐτοῖς ἑαυτῶν διακονήσεις, νύκτωρ τε πλανωμένων διὰ πάσης τῆς χώρας καὶ μεθ' ἡμέραν».

Τὴν διακόνησιν οὐ μόνον Πλάτων, ἀλλὰ καὶ ἅπας ὁ Ἑλληνικὸς πλὴν τῶν Νόμων λόγος οὐκ εἰδὼς φαίνεται· διακονίᾳ δὲ δοκίμῳ ὀνόματι πολλαχοῦ τούτου μεταθέοντες ἂν περιτύχοιμεν, οἷον ἐν Πλάτωνος Πολιτείᾳ (371 γ, 439 δ) καὶ Αἰσχίνου ἐν τῷ κατὰ Κτησιφῶντος (55, 33) καὶ Δημοσθένους ἐν τῷ περὶ Στεφάνου (296) καὶ τῆς Θουκυδίδου συγγραφῆς ἐν τῷ πρώτῳ (133) καὶ Ξενοφῶντος ἐν τῷ Οἰκονομικῷ (7, 41).

(635 γ).

«Ἔτι δὲ καὶ κρυπτεία τις ὀνομάζεται θαυμαστῶς πολύπονος πρὸς τὰς καρτερήσεις χειμώνων τε ἀνυποδησίαι καὶ ἀστρωσίαι».

Τί ἄν τις τὴν ῥῆσιν χειμώνων ἀνυποδησίαι καὶ ἀστρωσίαι διανοηθείη; Μῶν κατὰ τρόπον ἔχειν τὸν προσήκοντα, ὥσπερ Σταλλβαύμῳ δοκεῖ τὸ χειμώνων ἀντὶ τοῦ ἐν χειμῶνι λέγεσθαι νομίζοντι; Ἀλλ' ἐὰν τὰς μετ' ὀνομάτων τοιαύτας γενικὰς ἐπισκεψώμεθα, οὐδεμίαν ὁμοίως ταύτῃ ἔχουσαν εὑρήσομεν, χρόνον σημαίνουσαν· τὸ μὲν γὰρ ἐν τῷ Πλάτωνος Συμποσίῳ (229 α) τὰς τῶν χειμώνων καρτερήσεις λέγεται δήπου, ὥσπερ ἂν καὶ καρτερεῖν χειμῶνα λέγοιτο. Ἀηθέστερον δὲ καὶ τολμηρότερον γενικὴ τοιαύτη ὀνόμασι συνημμένη μάλιστα εὑρίσκεται παρὰ δραματικοῖς τε καὶ Θουκυδίδῃ καὶ τοῖς μιμησαμένοις αὐτὸν ῥήτορσιν, ἧττων δὲ παρὰ Πλάτωνι· εὕρηται μὲν γὰρ ἐν τῇ Θουκυδίδου συγγραφῇ Ἰταλίας καὶ Σικελίας παράπλους τὸν εἰς Ἰταλίαν καὶ Σικελίαν παράπλουν λέγειν βουλόμενον (1, 36),

Digitized by Google

εὕρηται δὲ τῇ τῶν Πλαταιῶν ἐπιστρατείᾳ τὸ Πλαταιαῖς ἐπιστρατεῦσαι δηλοῦν (2,79) καὶ μετὰ τὴν τῆς Αἰτωλίας συμφορὰν ἀντὶ τοῦ μετὰ τὴν ἐν Αἰτωλίᾳ συμφορὰν εἰρημένον (3, 114) καὶ Σοφοκλέους ἐν Οἰδίποδι ἐπὶ Κολωνῷ (45) οὐχ ἕδρας γῆς τῆσδ' ἂν ἐξέλθοιμι, ὅπερ μᾶλλον ἂν τῆς ἐν τῇδε γῇ ἕδρας λέγοιτο, καὶ ἀγγελία τῆς Χίου παρὰ Θουκυδίδῃ (8, 15) ἴσα τῷ περὶ Χίου δυνάμενον, καὶ μῦθος φίλων παρὰ Σοφοκλεῖ ('Αντ. 11), ὥσπερ ἂν εἰ μῦθος περὶ φίλων λέγοιτο, καὶ τὸ Μεγαρέων ψήφισμα παρὰ Θουκυδίδῃ (1,149) καὶ τὰ 'Αμφισσέων δόγματα παρὰ Δημοσθένει (18,14) καὶ τῶν μὴ γενομένων πίστιν παρ' Ἰσαίῳ (8,19) καὶ τοὺς τοῦ πράγματος λόγους παρ' Αἰσχίνῃ (3, 206). Πλάτωνος δ' ἥκιστα οἰκεῖα τὰ τοιαῦτα εἶναι δοκεῖ, ὥστε μάλιστ' εἰκότ' ἂν λέγοιμεν μιμητοῦ τινος τοῦ 'Αττικοῦ λόγου καὶ τόδε φάσκοντες εἶναι πρὸς οἷς ἄλλοις τοιούτοις πολλοῖς ἐπεδείξαμεν. Οὐ παρὰ λόγον δὲ Ζελλῆρος μὲν ἀτοπίαν ἐπικαλεῖ τῇ ῥήσει (περὶ Πλατ. 93), ἀσθενῆ ἢ ἀδόκιμα Σταλλβαύμου ἀντιλέγοντος, πλημμέλειαν δ' Ἄστος ἀπογραφικήν, ἣν ἐπανορθούμενος διὰ χειμώνων ἀντὶ χειμώνων γραφῆναι κελεύει οὐκ ἀναγκαῖα οὐδὲ πιθανὰ ἔμοιγε κελεύων.

(633 γ).

«Ἔτι δὲ κἂν ταῖς γυμνοπαιδίαις δειναὶ καρτερήσεις παρ' ἡμῖν γίγνονται».

Τὴν γυμνοπαιδίαν τοὔνομα μόνον ὁ περὶ τοὺς Νόμους τὴν σπουδὴν ποιησάμενος ἐνταῦθα εἰπὼν ἔτυχεν, οὐδαμοῦ δὲ Πλάτων μνησθεὶς αὐτῆς δῆλός ἐστι.

(633 γ).

«Δειναὶ καρτερήσεις παρ' ἡμῖν (τοῖς Λακεδαιμονίοις) γίγνονται τῇ τοῦ πνίγους ῥώμῃ διαμαχομένων».

Τὸ ῥώμη πνίγους τολμηρότερον καὶ οὐ κατὰ Πλάτωνα δοκεῖ μετενηνέχθαι. Τοιαῦτα δ' ἔοικεν εἶναι καὶ τὰ τῶν Νόμων μόνον οἰκεῖα,

Digitized by Google

τραγικώτερα δ' ὅμως ἀπιστίας τε ῥώμη (839 δ) καὶ ῥώμη ἡδονῶν (841 α), καθ' ἅπερ γε καὶ ῥώμη δορὸς καὶ πνευμάτων ῥώμη Εὐριπίδῃ που εἰρῆσθαι συνέβη (Ἱκετ. 26. Ἡρακλ. 22). Οὔκουν ἀπεικότως ἀδόκιμον εἶναι τὴν ῥῆσιν Ζελλῆρος τοπάζει, ἄπιστα Σταλλβαύμου γνώμην ἐμὴν ἀντιλέγοντος, τὸν Λακωνικὸν Μεγίλλου λόγον περὶ τούτου αἰτιωμένου.

(633 δ).

Ἀθ. «Τὴν ἀνδρείαν δὲ φέρε τί θῶμεν; πότερον ἁπλῶς οὕτως εἶναι πρὸς φόβους καὶ λύπας διαμάχην μόνον ἢ πρὸς πόθους τε καὶ ἡδονὰς καί τινας δεινὰς θωπείας κολακικάς;»

Καὶ διαμάχῃ δ' ὀνόματι ἄνδρες Ἀττικίζοντες μόνον χρησάμενοι φαίνονται, Πλούταρχός τε (Ἠθικ. 74) καὶ Ἰώσηπος (Β. j 6, 2, 8) καὶ ἄλλοι, οἷς ἂν καὶ τὸν συγγραφέα τῶν Νόμων προσθεῖμεν, ἐνταῦθά τε καί που προϊόντι (814 α) διαμάχην εἰπόντα.

(634 α).

Ἀθ. «Ὁ Διὸς οὖν δὴ καὶ ὁ Πυθικὸς νομοθέτης οὐ δήπου χωλὴν τὴν ἀνδρείαν νενομοθετήκατον, πρὸς τὰ ἀριστερὰ μόνον δυναμένην ἀντιβαίνειν πρὸς τὰ δεξιὰ δὲ καὶ κομψὰ καὶ θωπευτικὰ ἀδυνατοῦσαν».

Τῷ ἀντιβαίνειν πρός τινα μόνον ἐνταῦθα Πλάτωνος ἂν περιτύχοις, εἰ δὴ Πλάτωνός εἰσιν οἱ Νόμοι, παρ' Ἀττικίζουσι δ' ἀνδράσι πολλάκις, οἷον παρὰ Πλουτάρχῳ (Λυκ. 5) καὶ Πολυβίῳ (2, 50, 12. 28, 5, 8). Ἀντιβαίνειν δέ τινι ἢ ἁπλῶς ἀντιβαίνειν Ἀττικοὶ μὲν ποιηταὶ θαμὰ λέγοντες εὑρίσκονται, Εὐριπίδης μὲν ἐν Βάκχαις (1126) καὶ ἐν τῇ ἐν Ταύροις Ἰφιγενείᾳ (1016), Ἀριστοφάνης δ' ἐν Βατράχοις (202), Αἰσχύλος δ' ἐν Προμηθεῖ (234), Σοφοκλῆς δ' ἐν Ἠλέκτρᾳ (575). Πλάτων δ' ἀντὶ τούτου μυριάκις μὲν ἐναντιοῦσθαι εἶπεν, πολλάκις δ' ἀντιτάττεσθαι, ὧν οὐκ ἂν δήπου ἀπείχετο εἴπερ οὗτος ἦν ὁ περὶ τοὺς Νόμους τὴν διατριβὴν ποιησάμενος.

Digitized by Google

(634 α).

«Οὐ δήπου χωλὴν τὴν ἀνδρείαν νενομοθετήκατον πρὸς τὰ ἀριστερὰ μόνον δυναμένην ἀντιβαίνειν, πρὸς τὰ δεξιὰ καὶ κομψὰ καὶ θωπευτικὰ ἀδυνατοῦσαν, ἢ πρὸς ἀμφότερα;»

Ἐνταῦθα ἀριστερὰ καὶ δεξιὰ αἱ λῦπαι καὶ αἱ ἡδοναὶ λέγονται· ἄηθες δ' ἐστὶ καὶ καινὸν παρὰ Πλάτωνι δύο τἀναντία ἀριστερὰ καὶ δεξιὰ καλεῖσθαι ἀντὶ τοῦ θάτερα, οἰκειοτάτου αὐτῷ ὄντος, οἷον ἐν τῷ Συμποσίῳ (186 δ) ἀντὶ τοῦ ἑτέρου ἔρωτος τὸν ἕτερον κτήσασθαι καὶ αὐτόθι (180 ε) ἀναγκαῖον καὶ ἔρωτα τὸν μὴ τῇ ἑτέρᾳ (Ἀφροδίτῃ) συνεργὸν πάνδημον καλεῖσθαι, καὶ ἐν τῇ Πολιτείᾳ (555 δ) ἀνάγκη ἢ τοῦ ἑτέρου ἀμελεῖν ἢ τοῦ ἑτέρου, καὶ ἐν τῷ Σοφιστῇ (226 α) οὐ τῇ ἑτέρᾳ (χειρὶ) ληπτέον, καὶ ἐν τῷ Πολιτικῷ (264) τὸ μὲν ἕτερον ὑγροτροφικὸν ὀνομάζοντες, τὸ δὲ ἕτερον ξηροτροφικόν, ἔτι δὲ ἐν Πρωτ. (329 δ) καὶ ἐν Γοργ. (475 α) καὶ ἐν Φαίδ. (68 γ) καὶ ἐν Πολ. (379 δ). Μᾶλλον δ' ἂν οὗτος εἶπε πρὸς θάτερα μόνον δυναμένην ἀντιβαίνειν, πρὸς θάτερα τὰ κομψὰ καὶ θωπευτικὰ ἀδυνατοῦσαν ἢ πρὸς ἀμφότερα;

(634 γ).

«Ἂν ἄρα τις ἡμῶν περὶ τῶν ἑκάστων οἴκοι νόμων ψέξῃ τι βουλόμενος ἰδεῖν τό τε ἀληθὲς ἅμα καὶ τὸ βέλτιστον, μὴ χαλεπῶς, ἀλλὰ πρᾴως ἀποδεχώμεθα ἀλλήλων».

Τὸ ἑκάστων περὶ τριῶν καθ' ἕνα λαμβανομένων λεγόμενον, τοῦ Ἀθηναίου τε καὶ τοῦ Κλεινίου καὶ τοῦ Μεγίλλου, οὐ κατὰ χρῆσιν τὴν εἰωθεῖσαν κεῖσθαι ἡμῖν γε δοκεῖ ἀντὶ τοῦ ἑκάστου τιθέμενον, παρὰ δέ που τὴν ὁμολογουμένην τοῦ Πλατωνείου λόγου ἀκρίβειαν, οἷα ἡμῖν ἐν τοῖσδε μάλιστα πάρεστιν, ἐν τῷ τοῦ Πολιτικοῦ (271 δ) «τὰ ζῷα κατὰ γένη καὶ ἀγέλας οἷον νομεῖς θεῖοι διειλήφασι δαίμονες, αὐτάρκεις εἰς πάντα ἕκαστος ἑκάστοις ὤν», ἔνθα ἕκαστος μὲν λέγεται δαίμων, γένη δὲ ἕκαστα, καὶ ἐν τῷ αὐτόθι που

Digitized by Google

(23 γ) «ἂν σῴζωσιν οἱ θεραπεύοντες ἕκαστοι τὰ θεραπευόμενα, ταύτῃ θήσομεν τοῦτον ὀρθὸν ὅρον εἶναι μόνον ἰατρικῆς καὶ ἄλλης ἡστινοσοῦν ἀρχῆς»· τὸ γὰρ ἕκαστοι εἰς γένη ἀρχόντων ἢ ἐπιστατῶν θεραπευόντων βλέπει δῆλον ὅτι. Οὐκ ἄλλως δ' ἔχει καὶ τὸ τῇδέ που (306 δ) «ἢ καὶ μνήμην ἴσχεις ὅντινα τρόπον δρῶσιν αὐτὸ ἐν ἑκάστοις τούτων;» ὅ ἐστιν ἐπαινοῦσιν ὀξύτητα καὶ τάχος εἴτε κατὰ σώματα εἴτε ἐν ψυχαῖς εἴτε κατὰ φωνῆς φοράν; καὶ τὸ ἐν τῇ Πολιτείᾳ (502 δ) «τίνα τρόπον ἡμῖν καὶ ἐκ τίνων μαθημάτων τε καὶ ἐπιτηδευμάτων οἱ σωτῆρες ἐνέσονται τῆς πολιτείας καὶ κατὰ ποίας ἡλικίας ἕκαστοι ἑκάστων ἁπτόμενοι;» καὶ τὸ ἐν Πρωταγόρᾳ (315 δ) «Περὶ αὐτὸν (τὸν Ἱππίαν) ἐκάθηντο ἐπὶ βάθρων Ἐρυξίμαχός τε καὶ Ἀκουμενὸς καὶ Φαῖδρος ὁ Μυριννούσιος καὶ Ἄνδρων ὁ Ἀνδρωτίωνος καὶ τῶν ξένων πολῖταί τε αὐτοῦ καὶ ἄλλοι τινές· . . . ἐφαίνοντο δὲ περὶ φύσεως καὶ μετεώρων διερωτᾶν τὸν Ἱππίαν, ὁ δὲ ἑκάστοις αὐτῶν διέκρινε καὶ διεξῄει τὰ ἐρωτώμενα», κατὰ πλῆθος διττὸν τῶν ἀκροωμένων λογιζομένων τὸ τῶν ἀστῶν καὶ τὸ τῶν ξένων, καὶ τὸ ἐν Θεαιτήτῳ (175 β) «ἐν ἅπασι δὲ τούτοις (τοῖς περὶ τοῦ καθ' ἡμέραν βίου) ὁ τοιοῦτος (ὁ φιλοσοφικὸς ἀνὴρ) ὑπὸ τῶν πολλῶν καταγελᾶται, τὰ μὲν ὑπερηφάνως ἔχων, ὡς δοκεῖ, τά δ' ἐν ποσὶν ἀγνοῶν τε καὶ ἐν ἑκάστοις ἀπορῶν».

(635 α).

Ἀθ. «Οὐκοῦν ἡμῖν τὰ νῦν ἐρημία νέων, αὐτοὶ δ' ἕνεκα γήρως ἀφείμεθ' ὑπὸ τοῦ νομοθέτου διαλεγόμενοι περὶ αὐτῶν τούτων μόνοι πρὸς μόνους μηδὲν ἂν πλημμελεῖν; Κλ. Ἔστι ταῦτα οὕτως, εἰς ἃ μηδὲν ἀνῇς ἐπιτιμῶν τοῖς νόμοις».

Πᾶς ἂν ὀξύ τι ὁρῶν τὸ εἰς ἃ τοῦτο ἂν ψέξειε τὸ δι' ἃ βουλόμενον λέγειν· ἐν παντὶ γὰρ τῷ Ἀττικῷ λόγῳ ἔν γε τοῖς τοιούτοις ταὐτά που τῷ πρὸς ἃ εὑρίσκεται δυνάμενον, τὸ οὗ ἕνεκα δηλοῦν, ἢ ἐγγύς που τοῦ ἃ ἰόν, ὅταν πρὸς τὸ κατά τι λεγόμενον τείνῃ.

Digitized by Google

(635 γ).

«Εἰ ἄπειροι τῶν μεγίστων ἡδονῶν οἱ πολῖται γενήσονται καὶ ἀμελέτητοι γιγνόμενοι ἐν ταῖς ἡδοναῖς καρτερεῖν καὶ μηδὲν τῶν αἰσχρῶν ἀναγκάζεσθαι ποιεῖν, ἕνεκα τῆς γλυκυθυμίας τῆς πρὸς τὰς ἡδονὰς ταὐτὸν πείσονται τοῖς ἡττωμένοις τῶν φόβων».

Τὸ δὴ μετὰ τοῦτο σκεπτέον ἡμῖν εἶναι δοκεῖ τὴν τῇδέ που γλυκυθυμίαν, ὅπῃ ποτὲ χρείας παρὰ Πλάτωνι καὶ ἐν τῷ Ἑλληνικῷ παντὶ ἔχει λόγῳ· ὃ μὲν γὰρ ἐνταῦθα ἡ γλυκυθυμία ἡ πρὸς τὰς ἡδονὰς βούλεται φράζειν, τὸ χαίροντα αἱρεῖσθαί τι, παρὰ Πλουτάρχῳ μόνον ἐν Ἠθικοῖς ἅπαξ (476 δ) ζητῶν ἂν λάβοις εἰρημένον, ἡ πρὸς τὸ ἥδιστον ἀναχωροῦσα γλυκυθυμία τῆς ψυχῆς. Ἀλλ' οὐδὲ τὴν θυμηδίαν δηλοῦντι τῷ ὀνόματι οὐδαμοῦ ἂν περιτύχοις ἄλλοθι ἢ παρ' Ἀττικίζουσι, Πλουτάρχῳ τε ἐν Ἠθικοῖς πολλάκις (970 β, 982 α, 1101 γ) καὶ παρὰ Συνεσίῳ (Ἐπ. 57, 79). Γλυκύθυμον δὲ Ἀριστοφάνης τὸν ἔρωτα μὲν ἐν Λυσιστράτῃ εἶπε (550), ἐν Νεφέλαις δὲ τὸν ὕπνον, τὸν ἡδονὴν ἢ εὐφροσύνην ἐμποιοῦντα λέγων. Ὅμηρος δ' ἐν Ἰλιάδι που ((Υ, 476) ἀνδρὶ τὸ ὄνομ' ἀπονείμας τὸν ἤπιον ἐν νῷ ἔχων φαίνεται. Πανταχῇ οὖν ἡ γλυκυθυμία, ὥς γ' ἐνταῦθα λέγεται, θεωρουμένη ἀλλοτρία τοῦ Ἀττικοῦ λόγου οὖσα ἁλίσκεται.

(635 δ).

«Δουλεύσουσι τρόπον ἕτερον καὶ ἔτ' αἰσχίω τοῖς γε δυναμένοις καρτερεῖν ἐν ταῖς ἡδοναῖς καὶ τοῖς κεκτημένοις τὰ περὶ τὰς ἡδονάς, ἀνθρώποις ἐνίοτε παντάπασι κακοῖς, καὶ τὴν ψυχὴν τῇ μὲν δούλην, τῇ δὲ ἐλευθέραν ἕξουσι».

Τί ἂν εἴποι τις τὴν ῥῆσιν τοῖς κεκτημένοις τὰ περὶ τὰς ἡδονάς; Πλατώνειον; Οὐ μὰ Δι', οὐ δῆτα· ὃ γὰρ ὁ λόγος ἐνταῦθα βούλεται λέγειν, εἰ μέλλοι τι τῆς σαφηνείας τῆς Πλάτωνος μετέχειν, τοῖς πρὸς

Digitized by Google

τὰς ἡδονὰς παρεσκευασμένοις δήπου ἂν λέγοιτο· τί γὰρ ἂν ἄλλο μᾶλλον τοῖς λεγομένοις ἁρμοττόμενον ὁ ταῦτα συγγράψας φθέγγοιτο; Ἐγὼ μὲν οὐχ ὁρῶ. Εἰ δὲ Σταλλβαῦμος οἴεταί τι εἰδέναι σαφῶς, τοὺς σωφρόνως τῶν ἡδονῶν ἀπολαύοντας λέγων, ἀνάξια μὲν πάσχει τῶν κειμένων ἀπρὶξ ἀεὶ ἀντέχεσθαι σπουδάζων, ἀτιμάζων δὲ λέληθε Πλάτωνα οὕτως ἄτοπα αὐτῷ ἐπιχειρῶν ἀπονέμειν.

(635 δ).

«Εἰ ἄπειροι τῶν μεγίστων ἡδονῶν οἱ πολῖται γενήσονται καὶ ἀμελέτητοι γιγνόμενοι ἐν ταῖς ἡδοναῖς καρτερεῖν.... ταὐτὸν πείσονται τοῖς ἡττωμένοις τῶν φόβων δουλεύσουσι τρόπον ἕτερον καὶ ἔτ' αἰσχίω τοῖς γε δυναμένοις καρτερεῖν».

Δίκην ἔχει Ζελλῆρος περὶ τὴν τοῦ γὲ ἐνταῦθα χρῆσιν ἀπορούμενος· τί γὰρ καὶ βουλόμενος ὁ συγγραφεὺς τῇδε τὸ γὲ ἐμβαλὼν ἔχει; τίσι γὰρ ἂν ἄλλοις πλὴν τῶν καρτερεῖν δυναμένων οἱ τῶν μεγίστων ἡδονῶν ἄπειροι δουλεύσειαν; Ἐπεὶ τοιοῦτόν τι καὶ οὐδὲν ἄλλο τὸ γὲ ἐνταῦθα ἔοικε φράζειν, εἰ μέλλει ὀρθῶς καὶ κατὰ τρόπον κεῖσθαι τὸν πρέποντα. Ἀτοπίαν δὲ τοιαύτην οὐδεὶς ἂν Πλάτωνος κατείποι, οἷς δὲ Σταλλβαῦμος χρῆται παραδείγμασιν, ἵνα τὸν συγγράψαντα ὀρθῶς τὸ γὲ εἰπόντα δείξῃ, οὐδὲν ἂν σκοποῦντες τοιοῦτον εὕροιμεν ἄλογον περὶ αὐτά.

(635 δ).

Τὸ δὲ «καρτερεῖν ἐν ταῖς ἡδοναῖς» πᾶς ἂν ἴδοι θαυμαστότερον ὂν ἀντὶ τοῦ εἰθισμένου πρὸς ἡδονὰς καρτερεῖν λεγόμενον, οἷον τὸ ἐν Πολιτείᾳ πρὸς ἡδονὰς καὶ λύπας καρτερεῖν (558 β) καὶ τὸ ἐν Ξενοφῶντος Κύρου Παιδείᾳ πρὸς λιμὸν καὶ ῥῖγος καρτερεῖν (3, 3, 11). Οὐχ ὅμοιον δὲ δήπου οὐδὲ ταὐτὸν δύναται τὸ Εὐριπίδου μάχῃ καρτερεῖν (Ἡρακλ. 837), οὐδὲ τὸ ἐν Λάχητι ἐν τῷ πολέμῳ καρτερεῖν (193 α) ἢ ἐπὶ τῇ ζητήσει καρτερεῖν (194 α), οὐδὲ τὸ Ἰσοκράτους ἐπὶ τοῖς παροῦσι (125 δ). Πάντα γὰρ δὴ ταῦτα τὸ ἐν ᾧ τις καρτερεῖ βούλεται λέγειν, ἀλλ' οὐ τὸ πρὸς ἅ, ὅπερ δὴ τὸ ἐνταῦθ' ἐν ἡδοναῖς καρτερεῖν ἀνάγκη σημαίνειν.

Digitized by Google

(636 β).

'Αθ. «'Επεὶ καὶ τὰ γυμνάσια ταῦτα καὶ τὰ ξυσσίτια πολλὰ μὲν ἄλλα νῦν ὠφελεῖ τὰς πόλεις, πρὸς δὲ τὰς στάσεις χαλεπά· δηλοῦσι δὲ Μιλησίων καὶ Βοιωτῶν καὶ Θουρίων παῖδες. Καὶ δὴ καὶ παλαιὸν νόμιμον δοκεῖ τοῦτο τὸ ἐπιτήδευμα κατὰ φύσιν τὰς περὶ τὰ ἀφροδίσια ἡδονάς, οὐ μόνον ἀνθρώπων ἀλλὰ καὶ θηρίων διεφθαρκέναι. Καὶ τούτων τὰς ὑμετέρας πόλεις πρώτας ἄν τις αἰτιῷτο καὶ ὅσαι τῶν ἄλλων μάλιστα ἅπτονται τῶν γυμνασίων».

Ὁ ἐνταῦθα σφοδρῶς τοῖς σισσιτίοις τε καὶ γυμνασίοις ὁ τῶν Νόμων συγγραφεὺς ἐπιτιμᾷ, ὡς χαλεπὰ μὲν πρὸς τὰς στάσεις, τῶν δ' οὐ κατὰ φύσιν ἐρώτων αἰτιώτατα πῶς οὐκ ἄτοπον καὶ παρὰ πάντα λόγον, εἴ τις Πλάτωνα δέξαιτο ταῦθ' οὕτω ψέξαι, ὅς γε δὴ οὐδὲν ἐν Πολιτείᾳ ἐπαινῶν καὶ θαυμάζων αὐτὰ διαλείπει; Πῶς δ' ἂν οὕτως ἐναντιώτατος αὐτὸς αὑτῷ γένοιτο, καὶ οὐ περὶ σμικρὰ ἀλλὰ περὶ τὰ μέγιστα τοῦ καλλίστου τῶν αὑτοῦ ἔργων; Οὐδαμοῦ δὲ τὸν τῶν παιδικῶν ἔρωτα οὕτως ἅπαντα ψέγων οὐδ' ἀποδοκιμάζων φαίνεται, ἀλλὰ τὸν μανικὸν μόνον καὶ τὸν ὕβρει καὶ ἀκολασίᾳ συνόντα. Τὰ δ' ἐνταῦθα λεγόμενα πᾶσι τοῖς ἀλλαχοῦ περὶ αὐτοῦ λεγομένοις διαφωνοῦντα εὑρίσκεται, τοῖς ἐν Πολιτείᾳ δὲ μάλιστα (403 α, β) καὶ Συμποσίῳ.

(636 δ).

«Νόμων δὲ πέρι διασκοπουμένων ἀνθρώπων ὀλίγου πᾶσά ἐστιν ἡ σκέψις περί τε τὰς ἡδονὰς καὶ τὰς λύπας ἔν τε πόλεσι καὶ ἐν ἰδίοις ἤθεσι· δύο γὰρ αὗται πηγαὶ μεθεῖνται φύσει ῥεῖν, ὧν ὁ μὲν ἀρυτόμενος ὅθεν τε δεῖ καὶ ὁπότε καὶ ὁπόσον εὐδαιμονεῖ, ὁ δ' ἀνεπιστημόνως τἀναντία ἂν ἐκείνῳ ζῴη».

'Εν τῷ πόλεσί τε καὶ ἰδίοις ἤθεσι τῶν ἠθέων διατριβὴν συνήθη ἢ οἶκον δηλούντων, πᾶς ἂν θαυμάσειεν ὅπως 'Ιωνικὸν μάλιστα

Digitized by Google

καὶ ποιητικὸν ἐν τοιαύτῃ δυνάμει τὸ ὄνομα ὂν τοῦτο ἐνταῦθα μόνον καί που προϊὼν (865 ε) Πλάτων εἰρηκὼς τυγχάνει· εὕροις μὲν γὰρ ἂν αὐτὸ θηρῶν παρ' Ὁμήρῳ τε (Ζ 511, ξ 411) καὶ Ἡσιόδῳ (Ἐργ. 220), εὕροις δὲ παρ' Ἡροδότῳ πλειστάκις (1, 15. 157. 4, 80. 2, 112) καὶ παρὰ Πινδάρῳ δὲ καὶ τραγικοῖς οὐχ ἅπαξ λεγόμενον. Εἰ δέ τις δύσκολος ὢν μὴ ἐθέλοι πείθεσθαι ἄλλως ἔχειν τὸ ἐν Τιμαίῳ (42 ε) ἔμενεν ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει, ἄλλως τε καὶ τοῦ μὲν ἑνικοῦ τοῦ ἤθει ἀριθμοῦ συμπείθοντος, τοῦ δὲ κατὰ τρόπον ἀναγκάζοντος, ἀλλ' οὖν οὐδέν γ' ἂν ἔχοι ἀντειπεῖν, ἐάν τις μηδὲν ἄτοπον τοῦτο ποιῆσαι Πλάτωνα φῇ, ἐν τοιαύτῃ δυνάμει τὸ ἤθει εἰπεῖν· ποιητικός γαρ ἐν Τιμαίῳ καὶ ἔνθεος πρὸς τὰ λεγόμενα καὶ τὸ πρᾶγμα ὤν, καὶ λόγου, ὡς εἰκός, ποιητικοῦ καὶ ὀνομάτων ἥψατο τοιούτων.

(636 ε).

Ἀκούων δέ τις τὰ Μεγίλλου «λέγεται μὲν ταῦτα, ὦ ξένε, καλῶς, ἀλλ' ἀφασία γ' ἡμᾶς λαμβάνει τί ποτε χρὴ λέγειν πρὸς ταῦτα» ἀκούων τις, λέγω, ταῦτα ἀποροῖ ἂν πάνυ σφόδρα, ὅπως οὗτος οἶδεν ὅτι καὶ Κλεινίαν ἅμ' αὐτῷ ἀφασία εἰληφυῖα τυγχάνει. Οὐδεὶς δ' ἄν, οἶμαι, πιστεύσειεν οὕτω παρὰ τὸ εἰκὸς ταῦτα Πλάτωνι εἰρῆσθαι.

(639 α).

Ἀθ. «Σκεψώμεθα δέ πῃ τῇδε».

Τὸ πῇ τῇδε οὕτω τάξεως καὶ κόσμου ἔχον οὐδαμοῦ ἰχνεύων Πλάτωνος ἂν εὕροις, ἀλλὰ τῇδέ πῃ τεταγμένῳ πανταχοῦ τούτῳ δῆλός ἐστι κεχρημένος.

(639 β).

Ἀθ. «Τί δ' ἄρχων στρατοπέδων; ἆρ' ἐὰν τὴν πολεμικὴν ἔχῃ ἐπιστήμην, ἱκανὸς ἄρχειν, κἂν δειλὸς ὢν ἐν τοῖς δεινοῖς ὑπὸ μέθης τοῦ φόβου ναυτιᾷ;»

Digitized by Google

Ἐν τῷ ὑπὸ μέθης τοῦ φόβου θαῦμ' ἔχει πάντα, ὅτι ἡ μέθη οὕτω τολμηρῶς καὶ μόνον ἐνταῦθα μετωνόμασται, ἀντὶ τῆς ταραχῆς ἢ θορύβου ἢ ἰλίγγου λεχθεῖσα· Πλάτων δὲ δοκεῖ οὐκ ἂν οὕτω τραγικῶς ἐθελῆσαι φθέγξασθαι. Οὐδένα δὲ πρὸς τοῦτο λόγον ἔχει ὅτι περὶ μέθης ἄρτι ὁ λόγος ἐγεγένητο, ὥσπερ Σταλλβαύμῳ δοκεῖ.

(639 γ).

Ἀθ. «Τί δ' ἐπαινέτην ἢ ψέκτην κοινωνίας ἡστινοσοῦν, ᾗ πέφυκεν ἄρχων εἶναι, ὁ δὲ μὴ ἑορακὼς εἴη ποτ' ὀρθῶς αὐτὴν αὑτῇ κοινωνοῦσαν μετ' ἄρχοντος· οἰώμεθα δή ποτε τοὺς τοιούτους θεωροὺς τῶν τοιούτων κοινωνιῶν χρηστόν τι ψέξειν ἢ ἐπαινέσεσθαι;»

Ἄτοπον καὶ ἄκυρον ἔοικεν εἶναι τὸ χρηστόν τι, ἀνθ' οὗ ὑγιές τι ἢ ὀρθὸν Πλάτωνι ἂν λέγοιτο· θαυμαστότερα δὲ Σταλλβαῦμος λέγειν δοκεῖ κατὰ βραχυλογίαν ταῦτ' εἰρῆσθαι οἰόμενος, ἧς ἄνευ ἀνενδεῶς ἂν εἶχε χρηστόν τι λέγοντας ψέξειν ἢ ἐπαινέσεσθαι λεγόμενον.

(639 δ).

Ἀθ. «Ἐγὼ δὲ ἐντετύχηκά τε πολλαῖς (συμποτικαῖς κοινωνίαις) καὶ πολλαχοῦ, καὶ προσέτι πάσας ὡς ἔπος εἰπεῖν διηρώτηκα καὶ σχεδὸν ὅλην οὐδεμίαν ὀρθῶς γιγνομένην ἑόρακα».

Τὸ πάσας ὡς ἔπος εἰπεῖν διηρώτηκα οὐ Πλάτωνος λόγος ὢν φαίνεται· οὐ γὰρ οὖν εἰκὸς οὕτως ἀλόγιστα φθέγξασθαι, πάντα διηρωτηκέναι τὰ συμπόσια, οὐ δυνατὰ οὐδὲ πιστὰ οὐδενὶ λέγοντα.

(640 β).

Ἀθ. «Νῦν δέ γε οὐ στρατοπέδου πέρι λέγομεν ἄρξοντος ἐν ἀνδρῶν ὁμιλίαις ἐχθρῶν ἐχθροῖς μετὰ πολέμου, φίλων δ' ἐν εἰρήνῃ πρὸς φίλους κοινωνησόντων φιλοφροσύνης».

Digitized by Google

Ἐν τῷ στρατοπέδου πέρι λέγομεν ἄρξοντος ἢ περὶ οὕτω τοῦ ἄρξοντος, τῆς οἰκείας γενικῆς, ἀφεστηκυῖα, τοῦ λέγομεν ἐμβεβλημένου, φίλη τοῖς Νόμοις ἐστὶ ῥῆσις, συχνὰς ὁμοίας ἐξ αὐτῶν Ἄστου συνειλοχότος (676 γ, 697 γ, 834 δ), οὐδαμοῦ δ' ἄλλοθι Πλάτωνος περιτυχόντος.

(640 γ).

Ἀθ. Ἔστι δέ γε ἡ τοιαύτη συνοισία, εἴπερ ἔσται μετὰ μέθης, οὐκ ἀθόρυβος».

Ὁ ἀθόρυβος ἐν Νόμοις μόνον τοῦ παντὸς Ἀττικοῦ εἴρηται λόγου, ἐνταῦθά τε καί που προϊόντι αὐτῶν (831 δ), ἀθορύβητον δὲ Ξενοφῶν ἐν Ἀγησιλάῳ που εἶπεν (6, 7), ἀθόρυβον δὲ Πλούταρχος εἴωθε λέγειν, δὶς ἐν τῷ Σωκράτους δαιμονίῳ εἰπὼν (208, 589 δ), δὶς δ' ἐν τῷ Συμποσίῳ (713 ϛ). Ἀττικιζόντων οὖν μᾶλλον οἰκεῖον ὁ ἀθόρυβος τοὔνομα ἔοικεν εἶναι ἢ Ἀττικῶν.

(641 γ).

Ἀθ. «Παιδευθέντες μὲν γίγνοιντ' ἂν ἄνδρες ἀγαθοί, γενόμενοι δὲ τοιοῦτοι τά τε ἄλλα πράττοιεν καλῶς, ἔτι δὲ κἂν νικῷεν τοὺς πολεμίους μαχόμενοι. Παιδεία μὲν οὖν φέρει καὶ νίκην, νίκη δ' ἐνίοτε ἀπαιδευσίαν· πολλοὶ γὰρ ὑβριστότεροι διὰ πολέμων νίκας γενόμενοι μυρίων ἄλλων κακῶν δι' ὕβριν ἐνεπλήσθησαν, καὶ παιδεία μὲν οὐδεπώποτε γέγονε Καδμεία, νῖκαι δὲ ἀνθρώποις πολλαὶ δὴ τοιαῦται γεγόνασί τε καὶ ἔσονται».

Τὸ λεγόμενον ὡς ἡ παιδεία φέρει νίκην, ἡ δὲ νίκη ἐνίοτε ἀπαιδευσίαν, ταῦτά τε καὶ τὰ τούτοις ἑξῆς ἀργὸς εἶναι δοκεῖ λόγος καὶ ἄτοπος οὐδὲ πρὸς Πλάτωνος οὐδ' ὁπωστιοῦν· τί γὰρ καὶ βουλόμενος περὶ τῶν ἐκ τῆς παιδείας ἀγαθῶν ὄντων τὸν λόγον ποιούμενος τὸν περὶ τῶν ἐκ νίκης ἐνίοτε κακῶν γιγνομένων προσῆψεν; Χαλεπῶς ἂν οὕτω παρὰ λόγον Πλάτωνι εἰρῆσθαι δοκοῦντα ἂν εὕροιμεν· οἱ γὰρ

Digitized by Google

κρατοῦντες ἐν τοῖς διαλόγοις αὐτῷ τῶν ἀνδρῶν, οἷος Σωκράτης πολλαχοῦ καὶ ὁ Ἀθηναῖος ἐνταῦθα, τοῦ ὀρθοῦ ἀεὶ καὶ ὑγιοῦς ἐν τοῖς λόγοις ἁπτόμενοι φαίνονται. Εἰ δέ τινα καὶ ἄλογα διαλεγομένους λέγειν ἀνάγκη, ταῦτα τοῖς ἄλλοις πλὴν τούτων Πλάτων φιλεῖ ὑποβάλλειν.

(641 δ).

Ἀθ. «Τὸ μὲν ἀληθές, ὦ ξένε, διισχυρίζεσθαι ταῦτα οὕτως ἔχειν, πολλῶν ἀμφισβητούντων, θεοῦ· εἰ δ' ὅπῃ ἐμοὶ φαίνεται δεῖ λέγειν οὐδεὶς φθόνος, ἐπείπερ ὡρμήκαμέν γε τοὺς λόγους περὶ νόμων καὶ πολιτείας ποιεῖσθαι τὰ νῦν».

Εἰπὼν ἐνταῦθα ὁ τοὺς νόμους συγγράψας ὡς περὶ νόμων τε καὶ πολιτείας τοὺς λόγους ποιεῖται καὶ τυφλῷ δῆλον ἐποίησεν ὅτι ταὐτόν τι πολιτείαν καὶ νόμους ἡγοῖτο. Ἐκ δὲ δὴ τούτου οὐδεὶς ἤδη λόγος λείπεται τοῖς περὶ ἄλλο τι σπουδάσαι Πλάτωνα φάσκουσι τοὺς νόμους συγγράφοντα, οὐδὲ περὶ ταὐτόν τι τῇ πολιτείᾳ διατρίψαι, ἐξ οὗπερ ἂν ῥᾳδίως τεκμαίροιντο Πλάτωνος καὶ τούτους πρὸς ταύτῃ ἔργον εἶναι.

(642 α).

«Σκοπῶ μὴ δόξαν ὑμῖν παράσχωμαι περὶ σμικροῦ πολλὰ λέγειν, μέθης πέρι, σμικροῦ πράγματος παμμήκη λόγον ἀνακαθαιρόμενος».

Τὸ λόγον ἀνακαθαίρεσθαι ἀντὶ τοῦ ἀποκαθαίροντα ἢ δι' ἀκριβείας λόγον ποιεῖσθαι τῶν Ἀττικῶν μόνος ὁ συγγραφεὺς ἡμῖν οὗτος εἶπεν. Ἀλλὰ μὴν καὶ κύριον τοῦτο λεγόμενον καὶ οὐ μετωνομασμένον παρ' ὑστέροις ἂν εὕροις μόνον καὶ ἐν τῷ ἥκιστα Πλάτωνος Μενεξένῳ καὶ ἐν Νόμοις· λέγεται μὲν γὰρ τῇδέ που (678 δ) μεταλλεῖα συγκεχυμένα ἀνακαθαίρεσθαι καὶ ἐν Μενεξένῳ (241 δ) τὸν βάρβαρον ἀνακαθαίρεσθαι καὶ παρὰ Πλουτάρχῳ (ἐν Ἀλεξ. 17) ἀνακαθαίρεσθαι τὴν παραλίαν καὶ ἄλλα τοιαῦτα ἐν Καίσαρι (58) καὶ Ἀντωνίῳ (9) καὶ παρὰ Θεοφράστῳ καὶ Λουκιανῷ (Ἀλεξ. 1) καὶ

Digitized by Google

Διονυσίῳ τῷ Ἁλικαρνασεῖ καὶ Λιβανίῳ καὶ Γρηγορίῳ τῷ Ναζιανζηνῷ, τῶν δ' Ἀττικῶν ὥς γ' ἔμ' εἰδέναι, οὐδὲ παρ' ἑνί.

(642α).

Τὸ δὲ «παμμήκη λόγον περὶ σμικροῦ πράγματος ἀνακαθαίρεσθαι» ἀνεπιτήδειος οὖσα μίμησις ἁλίσκεται καὶ μόνον οὐ λογοκλοπία τῆς ἐν Φαίδρῳ (268 Υ) ῥήσεως περὶ σμικροῦ πράγματος ῥήσεις παμμήκεις ποιεῖν. Μιμηταὶ δὲ λόγου Ἀττικοῦ, ὡς πάντες ἴσμεν, οἱ Ἀττικίζοντες μάλιστα εὑρίσκονται ὄντες, οὐ μόνον ὀνόματα ἀλλὰ καὶ ῥήσεις ὅλας αὐτῶν παραλαβόντες, οὐδὲν ἢ σμικρὸν ἀλλοιοῦντες· δεῖ δ' οὐδέν, οἶμαι, τὰ πᾶσιν ἐμφανῆ καὶ διάδηλα τεκμηρίοις δεικνύναι.

(642α).

Τὸ δὲ ἡ κατὰ φύσιν αὐτοῦ (τῆς μέθης) διόρθωσις οὐκ ἂν δύναιτο ἄνευ μουσικῆς ὀρθότητός ποτε σαφὲς οὐδ' ἱκανὸν ἐν τοῖς λόγοις ἀπολαβεῖν».

Τοὔνομα διόρθωσις τὴν ὀρθὴν διάθεσιν λέγον οὐ μόνον Πλάτωνος οὐ δοκεῖ εἶναι, οὐδαμοῦ ἄλλοθι αὐτῷ εἰρημένον, ἀλλ' οὐδὲ τοῦ Ἀττικοῦ λόγου ἔμοι γε οἰκεῖον ὂν εὕρηται· Ἱπποκράτης μὲν γάρ που (Δ') διόρθωσιν τὴν εἰς ὀρθὸν ἀγωγὴν τοῦ ἐγκλινόντων εἶπε, τὴν τῶν ὁδῶν δ' ἐπὶ τὸ βέλτιον Ἀριστοτέλης (Πολ. 6) καὶ τῶν συμπτωμάτων Πολύβιος (6, 38, 4), τὴν ἐπανόρθωσιν δὲ Πολύβιος (3, 118, 12) καὶ Διονύσιος ὁ Ἁλικαρνασεὺς (Ῥωμ. Ἀρχ. 6, 20), τὴν χρεῶν δὲ διάλυσιν πολλάκις ὁ Πολύβιος (5, 50, 7. 11, 25, 9).

Ὅτι δ' ἄγαν κατατείνας περὶ μέθης καὶ πότων ὁ συγγραφεὺς ἡμῖν εἶπεν, καὶ ὁμολογοῦντα θαυμαστὸν καὶ ἄτοπον εἶναι παμμήκη λόγον περὶ μέθης σμικροῦ πράγματος ποιεῖσθαι οὐδὲν ἀπολύεται τοῦ τοιαῦτα καταψεύδεσθαι Πλάτωνος· οὐ γὰρ οὖν σπουδάζων ἡμιόλιον βιβλίου, ἐνθένδε μέχρι τοῦ δευτέρου τελευτῶντος, περὶ μέθης ἂν λέγων διεξίοι οὕτω προὔργου ποιούμενος, ὡς οὔτ' ἐν Συμποσίῳ οὔτ' ἄλλοθί που τῶν δια

Digitized by Google

λόγων φαίνεται· οὐδὲ γὰρ ὧν ἡ πολιτεία συνέστηκεν οὕτω μέγα τι καὶ σεμνὸν σωφρονοῦντι ἔοικεν εἶναι τὰ περὶ μέθην καὶ πότους, ὥστε λατρεύοντα αὐτοῖς τὰ περὶ παιδείας καὶ ἁρμονικῆς τετάχθαι. Καίτοι ταῦτά γε πλείστου ἄξια ἐν Πολιτείᾳ καὶ προὐργιαίτατα εἰς ὀρθὴν πολιτείας διάθεσιν καὶ ἕξιν Πλάτων ἡγεῖται, καὶ οὐχ οἷα μέθαις μόνον καὶ πότοις δουλεύειν (Πολιτ. 376 ε - 410 β).

(642 α).

«Ὁρᾶτε οὖν τί ποιῶμεν, εἰ ταῦτα μὲν (τὰ περὶ μέθης) ἐάσαιμεν ἐν τῷ παρόντι, μετεκβαῖμεν δὲ εἰς ἕτερόν τινα νόμων πέρι λόγον».

Τὸ μετεκβαίνειν ἐνταῦθά τε καὶ που προϊόντι (935 α) «μετεκβαίνειν πως εἰώθασι πάντες θαμὰ ἐν τοῖς τοιούτοις εἰς τό τι γελοῖον περὶ τοῦ ἐναντίου φθέγγεσθαι» οὐκ οἶδ' ὅ,τι παθὼν Πλάτων ἐν Νόμοις μόνον ἂν εἴπε· τῶν δ' Ἀττικῶν παρ' Ἀντιφῶντι μόνον ἂν ἅπαξ ἀναγνοῖμεν καὶ περὶ μεταβάσεως εἰς πλοῖον λεγόμενον (131), καθ' ἅπερ καὶ Ἡρόδοτος ἐξ ἅρματος εἰς ἁρμάμαξαν μετεκβαίνειν που ἔγραψεν (7, 41). Ὁ δὲ τῶν Νόμων ἡμῖν συγγραφεὺς τροπικῶς τῷ μετεκβαίνειν ἐχρήσατο περὶ λόγου τὸν λόγον ποιούμενος· μεταβαίνειν δὲ οὐχ ἅπαξ Πλάτωνι εἰρημένον εὑρήσομεν, ἐν Φαίδρῳ τε (265 γ) καὶ ἐν Παρμενίδῃ (146 α, 165 α) καὶ ἐν Πολιτείᾳ (547 γ, 550 δ, 569 γ).

(642 γ).

Μεγ. «Ἀκούων ἐκ τῶν παίδων εὐθύς, εἴ τι μέμφοιντο Λακεδαιμόνιοι Ἀθηναίους, ὡς ἡ πόλις ὑμῶν, ὦ Μέγιλλε, ὑμᾶς οὐ καλῶς ἔρρεξε, καὶ μαχόμενος ὑπὲρ ὑμῶν ἀεὶ πρὸς τοὺς τὴν πόλιν εἰς ψόγον ἄγοντας πᾶσαν εὔνοιαν ἔσχον».

Ἡ εἰς ψόγον ἄγειν τινὰ ῥῆσις ἔρημος ἀδελφῶν ἐν παντὶ τῷ Ἀττικῷ τυγχάνει οὖσα λόγῳ πλήν γε δή τινος ἐν Νόμοις που καὶ ταύτης ῥηθείσης (711 γ), «τὰ μὲν ἐπαινοῦντα καὶ τιμῶντα, τά δ' αὖ

Digitized by Google

πρὸς ψόγον ἄγοντα». Περὶ πλείστου δ' ἄγειν τι καὶ ἐν οὐδεμιᾷ μοίρᾳ ἄγειν τι εἶπεν Ἡρόδοτος (9, 7. 2, 172), ἐν τιμῇ δὲ ἢ ἐντίμως ἄγειν τινὰ ἔγραψε Πλάτων (Πολιτ. 538 ε, 528 γ). Ἕτερον δ' ἂν εἴη παντάπασι καὶ οὐδαμῇ τῶν τοιούτων τό τε ἐν Νόμοις περὶ θεῶν εἰς πίστιν ἄγειν (966 δ) καὶ τὸ ἐν Πολιτείᾳ εἰς δόξας κενὰς ἄγειν (362 ε) καὶ τὸ ἐν Φαίδρῳ εἰς ὁμοιότητά τινι καὶ συμφωνίαν ἄγειν (253 γ) καὶ εἴ τι ἄλλο παραπλήσιον.

(642 δ).

«Ἐπιμενίδης ἐλθὼν πρὸ τῶν Περσικῶν δέκα ἔτεσι πρότερον παρ' ὑμᾶς θυσίας τε ἐθύσατό τινας καὶ δὴ καὶ φοβουμένων τὸν Περσικὸν Ἀθηναίων στόλον εἶπεν ὅτι δέκα μὲν ἐτῶν οὐχ ἥξουσιν, ὅταν δ' ἔλθωσιν, ἀπαλλαγήσονται πράξαντες οὐδὲν ὧν ἤλπιζον παθόντες τε ἢ δράσαντες πλείω κακά».

Ταῦτα λέγων πλεῖστον ἡμῖν ὁ συγγράψας ἁμαρτάνει τὸν χρόνον λογιζόμενος, ἐν ᾧ Ἐπιμενίδης εἰς Ἀθήνας ὁμολογουμένως ἧκε· πάντες μὲν γὰρ τῇ ἕκτῃ καὶ τεσσαρακοστῇ Ὀλυμπιάδι Ἀθήναζε αὐτόν φασιν ἐλθεῖν, ἓξ ἔτεσι καὶ ἑκατὸν πρότερον τῶν Μηδικῶν, ἐνταῦθα δὲ δέκα ἔτεσι προτερῆσαι τούτων ἐν Ἀθήναις γενόμενος λέγεται. Πλάτων δ', οἶμαι, οὐκ ἂν τηλικοῦτον ἁμάρτοι. Κάλλιστα δὲ τοῦτα Ζελλῆρος ἐν τῷ περὶ Πλάτωνος συγγράμματι (70, 111) ἐλέγξαι δοκεῖ.

(642 δ).

Τὰ δὲ Περσικὰ καὶ ὁ Περσικὸς στόλος οὐ πάνυ τι οἰκεῖα, ὥς γ' ἐμὲ γνῶναι, τοῦ Ἀττικοῦ λόγου δοκεῖ εἶναι ὀνόματα· Περσικὸν μὲν γὰρ ὄνομα Ἰσοκράτης καὶ Πλούταρχος μόνον φαίνονται εἰπόντες, ὁ μὲν ἐν τῷ Πανηγυρικῷ (68) καὶ τῷ Ἀρεοπαγιτικῷ (75) καὶ τῷ περὶ Εἰρήνης, ὁ δὲ ἐν Ἀριστείδῃ (1) καὶ ἐν Βρούτῳ (31). Τὰ Μηδικὰ δὲ ἀντὶ τούτου μάλιστα οἱ Ἀττικοὶ φιλοῦσι λέγειν ἀπὸ Θουκυδίδου ἀρξάμενοι· εἶπον δὲ οὗτός τε (1, 18, 97) καὶ Ἀριστοφάνης (Λυσ. 653,

Digitized by Google

καὶ Ξενοφῶν (Πορ. 5, 5) καὶ Ἀνδοκίδης (1, 78). Ἦρξε δὲ τὰ Μηδικὰ γράψας Ἡρόδοτος (9, 64).

(642 e).

Ἀντὶ δὲ τοῦ « θυσίας ἐθύσατό τινας (Ἐπιμενίδης)» ἔθυσε μᾶλλον Ἀττικὸς ἀνὴρ ἂν εἴποι· τὸ γὰρ θύεσθαι περὶ ὧν μέλει τῆς θυσίας μᾶλλον δοκεῖ λέγεσθαι, τῶν σφίσιν αὐτοῖς θυσίας ποιουμένων καὶ τῶν θυσίαις μαντευομένων ἢ τῶν ἱερέων καὶ τῶν ἁπλῶς ἢ ἄλλοις θυόντων, οἷον ἐν Πλάτωνος Συμποσίῳ (201 e) Ἀθηναίοις θυομένοις περὶ τοῦ λοιμοῦ καὶ ἐν Πολιτείᾳ (378 a) θυσαμένοις οὐ χοῖρον ἀλλὰ μέγα τι καὶ ἄπορον θῦμα καὶ παρὰ Θουκυδίδῃ (5, 54) τὰ διαβατήρια θυομένοις (Λακεδαιμονίοις) καὶ ἐν Ξενοφῶντος Κύρου Ἀναβάσει (2, 2, 3) ἐμοὶ θυομένῳ ἰέναι ἐπὶ βασιλέα οὐκ ἐγίγνετο τὰ ἱερὰ καὶ (4, 6, 23) Χειρίσοφος θυσάμενος ἦγε κατὰ τὴν ὁδὸν καὶ (6, 1, 22) (Ξενοφῶν) ἐθύετο Διὶ τῷ βασιλεῖ καὶ (5, 6, 27) Ξενοφῶντα θύεσθαι ὑπὲρ τῆς μονῆς. Καίτοι τὸ μὲν θύειν εὕροις ἂν καὶ ἀντὶ τοῦ θύεσθαι λεγόμενον, ἀλλ' οὐ καὶ τοὐναντίον· λέγεται μὲν γὰρ θύειν θύματα (Πλατ. Πολ. 290 e) καὶ θύσαντες οἱ στρατιῶται (Ξ. Ἀν. 4, 6, 27) καὶ θύειν ἐπινίκεια (Πλατ. Συμ. 173 a) ἢ εὐαγγέλια (Ἀρ. Ἱππ. 656), ἐλέχθη δὲ καὶ θύειν διαβατήρια (Ξ. Ἀν. 3, 4, 3) καὶ Ξενοφῶν ἔθυε πότερά οἱ λῷον εἴη (7, 6, 44)· θύεσθαι δὲ ἐπὶ ἱερέως ὁ συγγραφεὺς ἡμῖν οὗτος εἶπε καὶ Ἡρόδοτος μόνον ἐν τῇ ἐνάτῃ που βίβλῳ εἰπὼν (33) «Ἕλλησι Τισαμενὸς Ἀντιόχου ἦν ὁ θυόμενος. Καίτοι καὶ τούτῳ Ἕλληνι ὄντι, ὥσπερ καὶ τοῖς ἄλλοις, τῆς θυσίας ἔμελε.

(642 e).

Τῆς δὲ ῥήσεως « φοβουμένων τὸν Περσικὸν Ἀθηναίων στόλον » ἡ κατὰ δύναμιν ἢ ῥυθμὸν ὑπερβατικὴ αὕτη τῶν ὀνομάτων τάξις ἄτοπος λίαν εἶναι δοκεῖ καὶ παρὰ τὸ λεγόμενον αὐτὸ τεταγμένη. Οὐδὲν δ' ἂν δήπου τοιοῦτον Πλάτων ἐπλημμέλησεν, οἷα καὶ ἄλλα πόλλ' ὁμοίως ἐν Νόμοις ἡμαρτημένα οὐδὲ Σταλλβαῦμον

λανθάνοντα ὁμολογεῖν ἀναγκάζει, ὡς «τὴν πάντων ἧτταν φοβουμένους ἀνθρώπων τοῦ πώματος (648 [e]) καὶ «τὴν τῆς ξυμπάσης ἡγεμόνα ἀρετῆς (688 [b])» καὶ «μεθ' οὗ ἱκετεύσας μάρτυρος ὁ ἱκέτης θεοῦ ἔτυχεν ὁμολογεῖν (730 [a]) καὶ «ἐν τοῖς τῶν δώδεκα ὁρίοις μερῶν (873 [d])» καὶ «οἱ τὰ τῶν δημιουργῶν σῴζοντες τέχναισιν ἑτέραις ἀμυντηρίοις ἔργα (920 [e]) καὶ ἄλλα οὐκ ὀλίγα τοιαῦτα.

(642 [e]).

«Τότ' οὖν (δέκα ἔτεσι πρὸ τῶν Περσικῶν) ἐξενώθησαν ὑμῖν οἱ πρόγονοι ἡμῶν καὶ εὔνοιαν ἐκ τόσου ἔγωγε ὑμῖν καὶ οἱ ἡμέτεροι ἔχουσι γονεῖς».

Τὸ ἐκ τόσου οὐδὲν θαῦμα εἰ καὶ τοῦτο μίμημα τῆς ἐν Συμποσίῳ Πλάτωνος ῥήσεώς ἐστι (191 c) «Ἔστι δὴ οὖν ἐκ τόσου ὁ ἔρως ἀλλήλων ἔμφυτος ἀνθρώποις», Ἡροδότου ταύτης ἡγησαμένου (5, 88. 6, 84). Πολλὰ γὰρ φαίνεται ὁ τοὺς Νόμους συγγράψας τῷ Συμποσίῳ τὴν γνώμην προσχὼν καὶ μιμησάμενος, καθ' ἅ τε οὐκ ὀλίγα ὑπείπομεν καὶ τὸ ἐνταῦθα λεγόμενον αὐτὸ δηλοῖ περὶ τὴν εὔνοιαν ὄν, τοῦ ἐν Συμποσίῳ περὶ τὸν ἔρωτα ὄντος, οὐ πολύ τι τῆς εὐνοίας ἀλλοῖον. Τοῦ δ' ἐκ τόσου ἅπαξ ἐν τῷ Ἀττικῷ λεχθέντος λόγου, ἐκ τοσούτου μὲν καὶ μέχρι τοσούτου Ξενοφῶν ἔγραψε (Ἑλλ. 4, 4, 11. Κ. 1, 4, 23), διὰ τοσούτου δὲ Θουκυδίδης (2, 29) καὶ ἐν τοσούτῳ Ἀριστοφάνης τε (Ἱππ. 420) καὶ ἄλλοι, εἰς τοσοῦτον δὲ Λυσίας (178, 34) καὶ κατὰ τοσοῦτον Πλάτων τε (Παρμ. 129 [a]) καὶ ἄλλοι καὶ παρὰ τοσοῦτον Θουκυδίδης πολλάκις (6 37. 8, 33).

(643 [a]).

«Διὰ ταύτης φαμὲν ἰτέον εἶναι τὸν προκεχειρισμένον ἐν τῷ νῦν λόγον ὑφ' ὑμῶν μέχρι περ ἂν πρὸς τὸν θεὸν ἀφίκηται».

Τὸ προκεχειρισμένον λόγον δόξαν παρέχει μοι οὐ Πλάτωνος εἶναι

Digitized by Google

τὸν λόγον· οὐδαμοῦ γὰρ ἀλλαχοῦ οὗτος τὸ προχειρίζεσθαι γεγραφὼς τυγχάνει. Καὶ τῶν μὲν Ἀττικιζόντων πολλοὶ πολλὰ χρησάμενοι αὐτῷ φαίνονται, Ἀριστοτέλης τε καὶ Πλούταρχος καὶ Λουκιανὸς καὶ Διονύσιος ὁ Ἁλικαρνασεὺς καὶ Πολύβιος, τῶν δ' Ἀττικῶν ὀλίγοι ὀλίγα· καὶ περὶ δρῶντος μὲν Ἀριστοφάνης τε (Ἐκκλ. 729) προχειρίζεσθαι τὴν οὐσίαν εἰπὼν καὶ Δημοσθένης προχειρίζεσθαι δύναμιν(45,10)καὶ Ἰσοκράτης προχειρίζεσθαι δημαγωγοὺς(184 α), περὶ πάσχοντος δὲ Δημοσθένης προκεχειρίσθαι ἀγαθὰ (85, 7).

Καὶ τὸ μὲν διὰ ταύτης διὰ τῆς παιδείας βούλεται λέγειν, τὸ δὲ θεὸν τὸν Διόνυσον, τὸν μέθαις δὴ καὶ πότοις ἐπιστατοῦντα· ὥστε τόν γε περὶ παιδείας λόγον ὁδὸν πρὸς τὸν περὶ μέθης ὁ συγγραφεὺς ἡμῖν τιθέμενος ἀνάξια Πλάτωνος δοκεῖ καταψεύσασθαι· τὸ γὰρ οὕτω προὔργου μὲν τὴν μέθην, ἐν παρέργῳ δὲ τὴν παίδευσιν ποιεῖσθαι ἀτοπώτατον καὶ ἥκιστα πρὸς Πλάτωνος εἶναι οὐδεὶς ὅστις οὐκ ἂν φαίη.

(643 β).

Ἀθ. «Τὸν μέλλοντα ἀγαθὸν ἔσεσθαι γεωργὸν ἤ τινα οἰκοδόμον, τὸν μὲν οἰκοδομοῦντά τι τῶν παιδείων οἰκοδομημάτων παίζειν χρή, τὸν δ' αὖ γεωργοῦντα».

Τὸ ὄνομα παιδεῖος οὐ μόνον οὐδ' ἐν ἑνὶ τῶν Πλάτωνος ἔργων, πλὴν ἐν Νόμοις τρίς, συμβαίνει λεχθῆναι (747 β, 810 α), ἀλλ' οὐδὲ τοῖς ἄλλοις Ἀττικοῖς συγγραφεῦσι γνώριμον εὑρίσκεται ὄν, ὑπὸ ποιητῶν μόνον λεχθέν· παιδεῖα μὲν γὰρ κρέα Αἰσχύλος ἔτυχεν εἰπὼν (Ἀγ. 1242 καὶ 1593) καὶ τροφὴν παιδείαν Σοφοκλῆς (Ἀντ. 968)· παιδικὸν δὲ χορὸν Ἀριστοφάνης (Λυσ. 415) καὶ Λυσίας (162, 4), παιδικὴν δὲ ἡδονὴν καὶ λύπην καὶ παιδικὸν εἶδος λόγων καὶ παιδικὸν ἔρωτα καὶ παιδικὸν φθόνον Πλάτων (Τιμ. 26 β, Θεαιτ. 169 γ, Πολιτ. 708 α, Κρατ. 406 γ, Φιλ. 49 α), παιδικοὺς δὲ λόγους Ξενοφῶν (Ἀγ. 8, 2).

(643 δ).

« Κεφάλαιον δὴ παιδείας λέγομεν τὴν ὀρθὴν τροφήν, ἣ

Digitized by Google

τοῦ παίζοντος τὴν ψυχὴν εἰς ἔρωτα ὅ τι μάλιστα ἄξει τούτου, ὃ δεήσει γενόμενον ἄνδρ' αὐτὸν τέλειον εἶναι τῆς τοῦ πράγματος ἀρετῆς».

Οὐκ οἶδ' ὅ,τι παθὼν ἡμῖν ὁ περὶ τοὺς Νόμους πραγματευσάμενος οὗτος τὸ τέλειον τῆς τοῦ πράγματος ἀρετῆς ἐνταῦθα εἶπεν, οὐδαμοῦ ἀλλαχοῦ τοῦ παντὸς Ἀττικοῦ ὁμοίως λεχθὲν λόγου· Πλάτωνι μὲν γὰρ τέλειος εἴς τι ἐν Φαίδρῳ που γέγραπται (267 ε) καὶ τέλειος κατά τι ἐν Τιμαίῳ (30 δ), τέλειος δὲ πρός τι καὶ τέλειος ἔν τινι Ἰσοκράτει ἐν τῷ Παναθηναϊκῷ (9) καὶ ἐν τῇ τετάρτῃ που ἐπιστολῇ (3). Οὐδὲν δὲ δὴ κοινόν ἐστι τῷ τέλειος τῆς ἀρετῆς καὶ τῷ παρθένος ὡραία γάμου ἢ ἀνδρός, πολλοῖς Ἀττικοῖς ἀπὸ Ἡροδότου θρυληθέντι (Ἡροδ. 1, 107, 109. 6, 122. Ξ. Κ. 4, 6, 9. Εὐρ. Ἑλ. 12)· τοῦτο μὲν γὰρ οὕτω λεγόμενον λόγον ἔχει οὐ σμικρόν· ταύτά γάρ τοι δῆλόν ἐστι δυνάμενον τῷ ὥραν γάμου ἢ ἀνδρὸς ἔχουσα, ᾧπέρ γε Ἡροδότου ἡγουμένου Ἀττικοί τε καὶ Ἀττικίζοντες οὐχ ἅπαξ χρησάμενοι εὑρίσκονται, μάλιστα δὲ Πλάτων τε καὶ Πλούταρχος (Ἡροδ. 1, 6, 61. Πλατ. Κριτ. 113 δ. Πλουτ. Ἠθ. 253 γ, 751 δ. Κλ. 1. Παραβ. Θησ. καὶ Ῥωμ. 6). Τοῦ δὲ τέλειός τινος οὐδένα σκοπούμενοι τοιοῦτον εὑρήσομεν λόγον.

(643 γ-ε).

Τὴν δὲ παιδείαν ὁριζόμενος, ὅ,τι ποτ' ἔστιν ἄλλοτε ἄλλα καὶ οὐκ ἀκόλουθ' ἀλλήλοις δοκεῖ λέγειν, ἐναντία δὲ τοῖς ἐν Πολιτείᾳ περὶ τούτου ῥηθεῖσι· πρῶτον μὲν γὰρ «κεφάλαιον παιδείας λέγει τὴν ὀρθὴν τροφήν, ἣ τοῦ παίζοντος τὴν ψυχὴν εἰς ἔρωτα ὅ,τι μάλιστα ἄξει τούτου, ὃ δεήσει γιγνόμενον ἄνδρ' αὐτὸν τέλειον εἶναι τῆς τοῦ πράγματος ἀρετῆς», ὃ ἐπιτηδεύσει δῆλον ὅτι, οἷον οἰκοδομίαν, γεωργίαν, τευτονικήν. Εἶτα δὲ μεταγνοὺς οὐδενὸς ἀντειπόντος οὐδ' ἐλέγξαντος, ὅπερ δὴ ἐν τοῖς Πλάτωνος διαλόγοις φιλεῖ γίγνεσθαι, τὴν παιδείαν ἀφορίζεται «τὴν πρὸς ἀρετὴν ἐκ παίδων παιδείαν ποιοῦσαν ἐπιθυμητήν τε καὶ ἐραστὴν τοῦ πολίτην γενέσθαι τέλεον, ἄρχειν τε καὶ ἄρχεσθαι ἐπιστάμενον μετὰ δίκης». Ἐν δὲ Πολιτείᾳ (376 ε)

Digitized by Google

ὅλῳ καὶ παντὶ διαφέροντα λέγοντος Πλάτωνος ἀκούομεν, «Παιδεία ἐστὶν ἡ ἐπὶ τῷ σώματι γυμναστικὴ καὶ ἐπὶ τῇ ψυχῇ μουσική».

(643[e]).

«Οὐ ταῦτ' ἡγουμένων, ὡς ἔοικεν, εἶναι παιδείαν ὁ νῦν λόγος ἂν εἴη», καὶ σμικρὸν προϊόντι «ταύτην τὴν τροφὴν ἀφορισάμενος ὁ λόγος οὗτος, ὡς ἐμοὶ φαίνεται, νῦν βούλοιτ' ἂν μόνον παιδείαν προσαγορεύειν», καὶ εὐθὺς μετὰ ταῦτα «ὁ νῦν δὴ λόγος ἡμῖν ὁμολογηθεὶς μενέτω».

Ταῦτα διεξιών τις καὶ σμικρὰ Πλάτωνος γευσάμενος σφόδρ' ἂν θαυμάσειεν ὅ,τι τρὶς ἐκ τοσούτου ἀηδῶς καὶ ἥκιστα κατὰ τὴν Πλατώνειον ἐν λόγῳ χάριν καὶ κομψότητα ὁ νῦν λόγος ἢ ὁ λόγος οὗτος συμβαίνει εἰρῆσθαι. Οὐδὲν δὲ πρὸς τὸ πάθος ἐστὶ τοῦτο τὸ λεγόμενον ὅτι δὴ τελευτήσαντι οὐκ ἐξεγένετο τέλεον τὸ ἔργον ἐξεργάσασθαι καὶ πάντῃ λεᾶναι· οὐ γάρ τοι περὶ τὰ καθ' ἕκαστον καὶ τὸ ῥητορικὸν τοῦ λόγου εἶδος εἰκός ἐστι τὴν δευτέραν καὶ ἐπὶ τὸ βέλτιον ἀγωγὴν εἶναι, ἀλλὰ περὶ τὰ κεφάλαια μᾶλλον τῶν λεγομένων, μή τι ἀλλήλοις ἀσύμφωνα καὶ ἐναντία ὄντα τυγχάνῃ.

(644).

«Δεῖ δὴ τὴν παιδείαν μηδαμοῦ ἀτιμάζειν, ὡς πρῶτον τῶν καλλίστων τοῖς ἀρίστοις ἀνδράσι παραγιγνόμενον· καὶ εἴ ποτ' ἐξέρχεται, δυνατόν δ' ἐστιν ἐπανορθοῦσθαι, τοῦτ' ἀεὶ δραστέον διὰ βίου παντὶ κατὰ δύναμιν».

Τὸ ἐξιέναι ἐκβαίνειν τοῦ ὀρθοῦ καὶ μετρίου ἢ ἁμαρτάνειν σημαῖνον ἐνταῦθα μόνον τοῦ παντὸς Ἀττικοῦ λόγου εἰρημένον εὑρίσκεται. Ἐξιέναι δὲ τὴν χώραν ἔγραψέ που Ἡρόδοτος (7, 29), καὶ ἐξιέναι τὰ νόμιμα Νύμφις ὁ Ἡρακλεώτης κατ' Ἀθήναιον (12, 536[a]). Οὐδαμῇ δ' ἴσα δύνασθαι οὐδ' οἷον τόδε δοκεῖ εἶναι τὸ χρόνον ἢ ἐνιαυτὸν ἢ μῆνα ἢ σπονδὰς ἐξιέναι, τὸ λήγειν δῆλα δὴ ἢ τε-

Digitized by Google

λευτᾶν δηλοῦν, οἷον τὸ ἐν Πλάτωνός που Φαίδωνι καὶ Πολιτικῷ (108 γ, 298 ε) καὶ ἐν Ξενοφῶντος Κύρου Ἀναβάσει καὶ Ἑλληνικοῖς, (7, 5, 4. 5, 2, 3).

(644 γ).

Ἀθ. « Οὐκοῦν ἕνα μὲν ἡμῶν ἕκαστον αὐτὸν τιθῶμεν; Κλ. Ναί. Ἀθ. Δύο κεκτημένον ἐν αὐτῷ ξυμβούλω ἐναντίω τε καὶ ἄφρονε, ὣ προσαγορεύομεν ἡδονήν τε καὶ λύπην; »

Ἐάν τις ἐνθυμηθεὶς τὸ ἐν Τιμαίῳ (69 δ) θάρρος τε καὶ φόβον ἄφρονε συμβούλω συμβάλῃ αὐτῷ τόδε, δύο συμβούλω ἄφρονε ἡδονήν τε καὶ λύπην, εὐθὺς γνώσεται μίμημ' ἐναργὲς ἐκείνου ὄν. Ἔτι δὲ μᾶλλον ταῦτ' οὕτως ἔχειν ἂν φαίη, πάντα τὸν ἐκεῖ λόγον περὶ τῶν αὐτῶν που ὄντα καὶ τὸν ἐνταῦθα ὁρῶν, περὶ ἡδονῆς τε καὶ λύπης καὶ ἐλπίδος καὶ θάρρους καὶ φόβου.

(644 γ).

« Πρὸς δὲ τούτοιν ἀμφοῖν αὖ δόξας μελλόντων (κεκτημένον), οἷν κοινὸν μὲν ὄνομα ἐλπίς, ἴδιον δὲ φόβος ἡ πρὸ λύπης, θάρρος δὲ ἡ πρὸ τοῦ ἐναντίου ».

Ἐλπίδα κοινὸν ὄνομα θάρρους καὶ φόβου ὁ τῶν Νόμων συγγραφεὺς μόνον φαίνεται εἰπών, Πλάτωνα δὲ προσδοκίᾳ οὕτω γε ἡμεῖς χρώμενον εὑρίσκομεν· προσδοκία μὲν γὰρ κακοῦ ὁ φόβος ἐν Λάχητί τε καὶ Πρωταγόρᾳ λέγεται (189 β, 358 δ) παντάπασιν ἄλλως ἢ ἐνταῦθα ἡ πρὸ λύπης ἐλπίς· τούτου δ' ἐναντίον ἐν Ὅροις (416 α) ἡ ἐλπὶς ὁρίζεται, ἀγαθοῦ μέλλοντος προσδοκία καλουμένη· ἥκιστ' ἄρα κοινὸν ἂν εἴη Πλάτωνι θάρρους καὶ δέους ὄνομά τι ἡ ἐλπίς, ὥσπερ γε τῷ ταῦτ' ἐν Νόμοις γεγραφότι. Συμφώνως δὲ τῇ φύσει ἡδεῖαν μὲν ἐκεῖνος τὴν ἐλπίδα ἐν Πολιτείᾳ ἐκάλεσε (331 α), ἀγαθὴν δὲ καὶ θαυμαστὴν ἐν Φαίδωνι (67 γ, 98 β), ἀγαθὴν δ' ἔτι Ξενοφῶν τε καὶ Ἀριστοφάνης (Ἀπομν. 2, 1, 18. Πλουτ. 212), καλὴν δὲ Σοφοκλῆς καὶ Ξενοφῶν (Τραχ. 667. Κυρ. Ἀν. 3, 2, 8),

Digitized by Google

χρηστὴν δὲ ὁ Ἀριστοφάνης (Σφηκ. 307). Παίζων δὲ δήπου Πλάτων τὸν φόβον κακὴν ἐλπίδα ἐν Πολιτείᾳ προσεῖπε (330 ε), «ζῇ μετὰ κακῆς ἐλπίδος» περὶ ἀνδρὸς ἀδικήσαντος εἰπών, ἵνα χαριέντως καὶ κομψῶς ἐναντίον τι τῷ αὐτίκα ῥηθησομένῳ εἴπῃ λόγῳ, ὡς «τῷ μηδὲν ἑαυτῷ ἄδικον ξυνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι». Ἐλπὶς δὲ ἡ προσδοκία ἀηθέστερον ὑπὸ Θουκυδίδου ἔστιν ὅτε καὶ Εὐριπίδου ἐλέχθη, «τὴν ἐλπίδα τοῦ φόβου ἔχουσι (7,61)» καὶ «προσῆλθεν ἐλπὶς ἦν φοβουμένη . . . (Ὀρ. 859)». Ἰδέτω δέ μοι πᾶς ὧδε, ὡς πολλὰ Πλάτων τοιαύτῃ τῇ προσδοκίᾳ ἐχρήσατο· εἶπε γὰρ ἐν Πολιτείᾳ (584 γ) «αἱ ἐκ προσδοκίας γενόμεναι προησθήσεις τε καὶ προλυπήσεις», ἐν δὲ Τιμαίῳ (70 γ) «ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ», ἐν δὲ Πρωταγόρᾳ (358 δ) «προσδοκία κακοῦ», ἐν δὲ Σοφιστῇ (264 β) «προσδοκίαν ἣν ἐφοβήθησαν», ἐν δὲ Φιλήβῳ (32 γ καὶ 36 γ) «ἡδονῆς καὶ λύπης ἕτερον εἶδος, τὸ αὐτῆς τῆς ψυχῆς διὰ προσδοκίας γενόμενον» καὶ «προσδοκίαι ἀληθεῖς ἢ μή».

(645 ε).

«Ταῦτα τὰ πάθη ἐν ἡμῖν, οἷον νεῦρα ἢ σμήρινθοί τινες ἐνοῦσαι σπῶσί τε ἡμᾶς καὶ ἀλλήλαις ἀνθέλκουσιν ἐναντίαι οὖσαι ἐπ' ἐναντίας πράξεως, οὗ δὴ διωρισμένη ἀρετὴ καὶ κακία κεῖται· μιᾷ γάρ φησιν ὁ λόγος δεῖν τῶν ἕλξεων ξυνεπόμενον ἀεὶ καὶ μηδαμῇ ἀπολειπόμενον ἐκείνης ἀνθέλκειν τοῖς ἄλλοις νεύροις ἕκαστον, ταύτην δ' εἶναι τὴν τοῦ λογισμοῦ ἀγωγήν, χρυσῆν καὶ ἱεράν, ἄλλας δὲ σκληρὰς καὶ σιδηρᾶς».

Ταῦτά τε πάντα καὶ τὰ ἐπὶ τούτοις ἐνταῦθα λεγόμενα εἰς τὰ ἐν Πολιτείᾳ που (415) περὶ χρυσοῦ καὶ ἀργυροῦ καὶ σιδηροῦ ἀνδρῶν γένους εἰρημένα ὁ τὴν σπουδὴν περὶ τοὺς Νόμους ἡμῖν ποιησάμενος βλέπων Ζελλήρῳ δοκεῖ συντεθεικέναι, πάνυ πιθανὰ ἔμοιγε λέγοντι (περὶ Πλάτ. 110).

Digitized by Google

(645 γ).

«Οὕτω δὴ καὶ κακία δὴ καὶ ἀρετὴ σαφέστερον ἡμῖν διηρθρωμένον ἂν εἴη», καὶ πορρωτέρω που (963[б]) «ἔχετον διαρθροῦντες φράζειν πρὸς ἐμέ;»

Τὸ διηρθρῶσθαι ταὐτὰ τῷ διωρίσθαι δυνάμενον καὶ τὸ διαρθροῦν τὸ διορίζεσθαι φράζον μόνον ὁ περὶ τῶν Νόμων τὸν λόγον τοῦτον ποιησάμενος οὕτω μετωνομασμένον εἶπε. Πλάτων δὲ τῇ πρώτῃ τοῦ διαρθροῦν δυνάμει ἑπόμενος καὶ εἰς ταύτην δὴ βλέπων πανταχοῦ τῶν ὁμολογουμένως οἰκείων διαλόγων κέχρηται· τὰ στήθη μὲν γὰρ διήρθρου ἐν Συμποσίῳ εἶπεν (193[α]) καὶ «ὀρθὸς διηρθρωμένος» ἐν Φαίδρῳ (251[δ]), ἐν δὲ Πρωταγόρᾳ «φωνὴν καὶ ὀνόματα διηρθρώσατο τῇ τέχνῃ» (322[α]). Τῇ αὐτῇ δέ που δυνάμει τῷ ῥήματι ἐχρήσατο καὶ Ἱπποκράτης, οἷον διαρθροῦσθαι ῥῖνα κατεαγυῖαν (802[α]), καὶ Ἀριστοτέλης, οἷον διηρθρωμένοι δάκτυλοι (Περὶ ζῴ. ἱστ. 2, 12) καὶ Πλούταρχος, οἷον διαρθροῦν τὴν τραυλότητα τῆς γλώσσης (Δημοσθ. 13).

(465 γ).

Ἀθ. «Ἐναργεστέρου αὐτοῦ γενομένου καὶ παιδεία καὶ τἆλλα ἐπιτηδεύματα ἴσως ἔσται μᾶλλον καταφανῆ καὶ δὴ καὶ τὸ περὶ τῆς ἐν οἴνοις διατριβῆς, ὃ δοξασθείη μὲν ἂν εἶναι φαύλου πέρι μῆκος πολὺ λόγων περιττὸν εἰρημένον, φανείη δὲ ταχ' ἂν ἴσως τοῦ μήκους γ' αὐτῶν οὐκ ἀπάξιον».

Τὸ ἀπάξιος πρὸς μυρίοις ἑτέροις καὶ τοῦτο ὃν ἐλέγχεται ὧνπερ οὔτε Πλάτων οὔτε ὁ ὄντως Ἀττικὸς λόγος πᾶς οἶδεν ὀνομάτων· ἐνταῦθα γάρ τοι μόνον αὐτὸ καὶ ἐν τῇ ἑβδόμῃ Πλάτωνος ἐπιστολῇ λεγομένῃ, ἀλλοτρίᾳ δ' ἔργῳ οὔσῃ, ζητοῦντες ἂν εὕροιμεν (324[б]). Τῶν δ' Ἀττικιζόντων Δίων ὁ Κάσιος μνήμης οὐκ ἀπάξιον ἔγραψε (44, 52).

Digitized by Google

(646 β).

Κλειν. «Πῶς δ' οὐκ ἀκουσόμεθα; κἂν εἰ μηδενὸς ἄλλου χάριν, ἀλλὰ τοῦ θαυμαστοῦ τε καὶ ἀτόπου, εἰ δεῖ ἑκόντα ἄνθρωπον εἰς ἅπασαν φαυλότητα ἑαυτὸν ἐμβάλλειν (μεθύοντα). Ἀθ. Ψυχῆς λέγεις· ἦ γάρ; Κλ. Ναί. Ἀθ. τί δέ; σώματος, ὦ ἑταῖρε, εἰς πονηρίαν, λεπτότητα καὶ αἶσχος καὶ ἀδυναμίαν, θαυμάζοιμ' ἂν εἴ ποτέ τις ἑκὼν ἐπὶ τὸ τοιοῦτον ἀφικνεῖται».

Τὴν πονηρίαν φαυλότητα μόνοι οἱ Νόμοι τοῦ Πλάτωνος ἐνταῦθά τε προσεῖπον καί που προσωτέρω (745 δ) χωροῦντι, «τὸ νῦν δὴ λεγόμενον φαυλότητός τε καὶ ἀρετῆς χώρας», ἐναντίαν τῇ ἀρετῇ τὴν φαυλότητα λέγοντες. Τὴν ἀπειρίαν δ' ἀλλαχοῦ καὶ ἄγνοιαν οὗτος φαυλότητα ἐκάλεσεν, οἷον ἐν Ἱππίᾳ μείζονι (286 δ) «Πόθεν, ὦ Σώκρατες, οἶσθα ὁποῖα καλὰ καὶ αἰσχρά; ἐπεί, φέρε, ἔχοις ἂν εἰπεῖν τί ἐστι τὸ καλόν; καὶ ἐγὼ διὰ τὴν ἐμὴν φαυλότητα ἠπορούμην τε καὶ οὐκ εἶχον αὐτῷ κατὰ τρόπον ἀποκρίνασθαι», καὶ ἐν Θεάγει (130 γ) «οὕτως αἰσχύνομαι ἐπὶ τῇ ἐμαυτοῦ φαυλότητι». Καὶ ὡς τὸ ὅλον εἰπεῖν τὸ σμικροῦ ἄξιον καὶ μὴ σπουδαῖον φαυλότης ἂν εἴη, ἀλλ' οὐχὶ ἡ πονηρία· Ξενοφῶν μὲν γὰρ τῆς στολῆς φαυλότητα ἐν Κύρου Παιδείᾳ εἶπε (2, 4, 5) καὶ ἐν Ἀγησιλάῳ τῶν βρωμάτων φαυλότητα (11, 11) καὶ ἀναγκάζει με ταῦτα ὁμολογεῖν ἡ ἐμὴ φαυλότης ἐν Ἀπομνημονεύμασι (4, 2, 25)· παρὰ δὲ Δημοσθένει φαυλότητά που τῶν στρατηγῶν ἀναγιγνώσκομεν, τὸ ἄπειρον αὐτῶν καὶ ἀνάξιον φράζειν βουλομένῳ (περὶ Στεφ. 303).

(646 γ).

«Τί οὖν; τοὺς εἰς τὰ ἰατρεῖα βαδίζοντας ἐπὶ φαρμακοποσίᾳ ἀγνοεῖν οἰόμεθα ὅτι μετ' ὀλίγον ὕστερον καὶ ἐπὶ πολλὰς ἡμέρας ἕξουσι τὸ σῶμα, οἷον εἰ διὰ τέλους ἔχειν μέλλοιεν ζῆν οὐκ ἂν δέξαιντο; ἢ τοὺς ἐπὶ τὰ γυμνάσια καὶ

Digitized by Google

πόνους ἰόντας οὐκ ἴσμεν, ὡς ἀσθενεῖς εἰς τὸ παραχρῆμα γίγνονται;»

Τί ἄν εἴποι τις τὰς ῥήσεις μετ' ὀλίγον ὕστερον καὶ εἰς τὸ παραχρῆμα ἐνταῦθα μόνον τοῦ Ἀττικοῦ λεχθείσας λόγου ἀντὶ τῶν μυριάκις Πλάτωνί τε καὶ ἄλλοις εἰρημένων ὀλίγον ὕστερον ἢ ὀλίγῳ ὕστερον ἢ τῶν ὁμοίων καὶ παραχρῆμα ἢ ἐν τῷ παραχρῆμα ἢ ἐκ τοῦ παραχρῆμα ἢ ἀπὸ τοῦ παραχρῆμα; Τῷ μὲν γὰρ ὀλίγον ὕστερον ἢ ὀλίγῳ ὕστερον καὶ τοῖς ὁμοίοις ἐντύχοις ἂν ἐν Πλάτωνος μὲν Γοργίᾳ (471 ϐ, 518 α) καὶ Κριτίᾳ (108 α) καὶ Συμποσίῳ (212 δ) καὶ Πολιτείᾳ (327 ϐ) καὶ Εὐθυδήμῳ (272 ε) καὶ σὺν τῷ ἔπειτα ἐν Συμποσίῳ καὶ Πολιτείᾳ (187 ϐ, 406 ϐ), ἐν Ξενοφῶντος δὲ Κύρου Ἀναβάσει (7, 2, 5) καὶ Ἑλληνικοῖς (1) καὶ Κύρου Παιδείᾳ (5, 3, 52), ἐν Ἰσοκράτους δὲ λόγῳ ὀγδόῳ καὶ δεκάτῳ (64), ἐν Θουκυδίδου δὲ βιβλίῳ πρώτῳ (61)· τῷ δὲ παραχρῆμα καὶ οἷς ὑπείπομεν ἄλλοις Πλάτωνος μὲν ἐν Φαίδρῳ (243 ϐ) καὶ Τιμαίῳ (25 ε) καὶ Θεάγει (129 ε) καὶ Πρωταγόρᾳ (253 δ) καὶ Κρατύλῳ (339 δ) καὶ Συμποσίῳ (185 γ) καὶ Πολιτικῷ (310 γ) καὶ Φιλήβῳ (21 γ) καὶ πολλαχοῦ ἀλλαχοῦ, ἐν Θουκυδίδου δὲ ἑβδόμῳ (75), ἐν Δημοσθένους δὲ λόγῳ ἐνάτῳ (7), ἐν Ξενοφῶντος δὲ Ἑλληνικοῖς πολλάκις, (οἷον ἐν 1, 1, 30. 6, 4, 11). Πῶς ἂν οὖν τις εὐθὺς οὕτω δέξαιτο Πλάτωνος εἶναι τῷ πολλαχῇ θαυμαστὸν τοῦτο ἔργον;

(646 δ).

«Ἂν ἄρα τινὰ ἡμῖν ὠφέλειαν ἔχουσα φαίνηται (ἡ περὶ τὸν οἶνον διατριβὴ) μηδὲν τῆς περὶ τὸ σῶμα ἐλάττω, τῇ γε ἀρχῇ τὴν σωμασκίαν νικᾷ, τῷ τὴν μὲν μετ' ἀλγηδόνων εἶναι, τὴν δὲ μή».

Τὸ τῇ ἀρχῇ τοῦτο τῶν Νόμων μόνον ῥῆσις οὖσα τυγχάνει. Πλάτων δὲ καὶ οἱ ἄλλοι Ἀττικοὶ τὴν ἀρχὴν ἢ κατ' ἀρχὴν ἢ κατ' ἀρχὰς καὶ ἐν ἀρχῇ ἀντὶ τούτου λέγειν εἰώθασιν, οἷον Πλάτων μὲν ἐν Συμποσίῳ (190 ϐ) «τὸ ἄρρεν ἦν τοῦ ἡλίου τὴν ἀρχὴν ἔκγονον» καὶ ἐν Πολιτείᾳ (280 ε) «κατ' ἀρχὰς εὐθὺς διορισά-

μεθα» καὶ ἐν Πρωταγόρᾳ (322 a) «οὕτω παρεσκευασμένοι κατ' ἀρχὰς οἱ ἄνθρωποι» καὶ ἐν Σοφιστῇ (261 a) «τὸ κατ' ἀρχὰς λεχθὲν» καὶ ἐν Τιμαίῳ (73 γ) «ἐν τῇ διανομῇ τῇ κατ' ἀρχάς», Ἱπποκράτης δὲ (285 6) «ὁ ἥλιος ἀνάγει τὴν ἀρχὴν τοῦ ὕδατος τὸ λεπτότατον», Θουκυδίδης δὲ (2, 24) «οὔτε τὴν ἀρχὴν ἀδίκως ἐπὶ τήνδε τὴν γῆν ἤλθομεν» καὶ (6, 4) «Ζάγκλη τὴν ἀρχὴν ἀπὸ Κύμης ᾠκίσθη» καὶ (2, 95) «κατ' ἀρχὰς τῷ πολέμῳ πιεζόμενον» καὶ (1, 35), «ἐν ἀρχῇ ὑπείπομεν», Σοφοκλῆς δ' ἐν Φιλοκτήτῃ (247) «κατ' ἀρχὴν τοῦ πρὸς Ἴλιον στόλου», Δημοσθένης δ' ἐν τῷ γ' Φιλιππικῷ (21) «μέγας ἐκ μικροῦ τὸ κατ' ἀρχὰς ηὔξηται».

Οὐδένα δὲ δήπου Σταλλβαῦμος πείθει λέγων δοτικὴν τοῦ καθ' ὃ τὴν ῥῆσιν ταύτην εἶναι· οὐδὲ γὰρ τυφλὸν αὕτη λανθάνει ἐν τῇ εὐθὺς ἐχομένῃ οὖσα ῥήσει, τῷ τὴν μετ' ἀλγηδόνων εἶναι, τὴν δὲ μή.

(647 a).

«Ἆρ' οὖν οὐκ ἂν νομοθέτης καὶ πᾶς οὗ καὶ σμικρὸν ὄφελος τοῦτον τὸν φόβον ἐν τιμῇ μεγίστῃ σέβοι;».

Τὸ σέβειν ἐνταῦθά τε καὶ ἄλλοθί που τῶν Νόμων μόνον εὑρίσκεται ῥηθέν, «ὁ φύσει καὶ μὴ πλαστῶς τὴν δίκην σέβων (777 δ)». Τῶν τραγῳδοποιῶν δὲ ἄλλως καὶ Ἀριστοφάνους τὸ ῥῆμά ἐστι τοῦτο καί που καὶ Θουκυδίδῃ καὶ Ξενοφῶντι περὶ θεῶν μόνον εἰρημένον. (Αἰσχ. Εὐμ. 22. 525. Ἱκ. 1025. Σοφ. Ἀντ. 745. Ἠλ. 981. Αἰ. 712. Ἀρ. Νεφ. 600. Θουκ. 2. 53. Ξ. Ἀπομ. 4, 4, 19. Ἀγ. 1, 27). Ὁ δὲ συγγραφεὺς οὗτος τὸν φόβον καὶ τὴν δίκην σέβειν εἶπεν, ἀλλ' οὐ τοὺς θεοὺς ὡς ἐκεῖνοι, καὶ ἐν τιμῇ γε δὴ σέβειν τραγικώτερον, ὥσπερ Σοφοκλῆς ἐν Ἀντιγόνῃ (780) «χρημάτων πλῆθος ἐν τιμῇ σέβειν» ἔτυχεν εἰπών, ὅπερ ἂν τοῦ καταλογάδην λόγου οἰκειότερον περὶ πλείστου ποιεῖσθαι ἢ ἐν πλείστῃ τιμῇ ἔχειν ἢ ἄγειν ἢ μάλιστα τιμᾶν ἂν λέγοιτο· σέβειν δὲ τὴν δίκην εἶπεν, ὥσπερ ἐν Ἱκέτισιν ὁ Εὐριπίδης (379) «σύ τοι σέβεις δίκην». Σέβεσθαι δὲ ἱερέα Πλάτωνί που εἴρηται ἐν Πολιτείᾳ (393 ε) καὶ θεὸν σέβεσθαι ἐν Φαίδρῳ (251 a) καὶ σέβεται προσορῶν αὐτόθι

Digitized by Google

(253 ε) καὶ ἔτι πρὸς τῷ σέβεσθαι (252 α) καὶ ἐν Τιμαίῳ (69 β) σεβόμενοι μιαίνειν τὸ θεῖον. σέβεσθαι δὲ Κῦρον ὡς πατέρα ἐν Κύρου Παιδείᾳ Ξενοφῶντι (8. 8. 2) καὶ τὰ θεῖα καὶ ἱερὰ ἐσέβοντο ἐν τοῖς Ἑλληνικοῖς (3. 4. 18) καὶ ἐν Ἀγησιλάῳ (3,2.11,1).

(647 β).

«Τά τε ἄλλα πολλὰ καὶ μεγάλα ὁ φόβος ἡμᾶς οὗτος σῴζει καὶ τὴν ἐν τῷ πολέμῳ νίκην καὶ σωτηρίαν ἓν πρὸς ἓν οὐδὲν οὕτω σφόδρα ἡμῖν ἀπεργάζεται».

Οὐκ οἶδ'ὅ,τι δεῖ παραλιπεῖν καὶ τὸ ῥῆμα ἓν πρὸς ἓν ταῖς μυρίαις ἐν Νόμοις μόνον εἰρημέναις ῥήσεσι προσθεῖναι (καὶ ἐν 626 γ καὶ ἐν 738 ε). Περιτύχοις δ' ἂν αὐτῷ ἐν τῇ Θουκυδίδου ξυγγραφῇ τοῦ Ἀττικοῦ λόγου μόνον (2, 92 οὐδ' ἐν τῇ Ἀσίᾳ ἔθνος ἓν πρὸς ἓν οὐκ ἔστιν ὅ,τι δυνατὸν Σκύθαις ὁμογνωμονοῦσι πᾶσιν ἀντιστῆναι) καὶ ἐν τῇ ἀλλοτρίᾳ δὴ Πλάτωνος Ἐπινομίδι (976 ε μία ὡς εἰπεῖν πρὸς μίαν ἡ τὸν ἀριθμὸν δοῦσα παντὶ τῷ θνητῷ γένει τοῦτ' ἂν δράσειε). Ἡγήσασθαι δ' ἐν τῇ χρήσει Ἡρόδοτος δοκεῖ, τοῦ τετάρτου που (50) τῆς ξυγγραφῆς βιβλίου εἰπὼν «ὕδωρ ἓν πρὸς ἓν συμβάλλειν ὁ Νεῖλος πλήθεϊ ἐπικρατέει»· Πλάτων δὲ ἓν ἀνθ' ἑνὸς ἀντὶ τούτου οὐχ ἅπαξ εὑρίσκεται γράψας, οἷον ἐν Πολιτείᾳ (381 β) «ἓν ἀνθ' ἑνὸς οὐκ ἐλάχιστον ἔγωγε θείην ἂν εἰς τοῦτο ἀνδρὶ νοῦν ἔχοντι πλοῦτον χρησιμώτατον εἶναι» καὶ ἐν Φιλήβῳ (632 γ) «πάντων ἡγούμεθά γε νῦν ἄριστον ἓν ἀνθ'ἑνὸς συνοικεῖν ἡμῖν τὸ τοῦ γιγνώσκειν τἄλλα».

(647 β).

«Δύο ἐστὸν τὰ τὴν νίκην ἀπεργαζόμενα, θάρρος μὲν τῶν πολεμίων, φίλων δὲ φόβος αἰσχύνης πέρι κακῆς».

Αἰσχύνην κακὴν μόνον ὁ περὶ τοὺς Νόμους τὴν διατριβὴν ποιησάμενος ἐτόλμησε γράψαι ἀντ' αἰσχύνης ἁπλῶς ἢ δόξης κακῆς καὶ ὁ τὰς ἐπιστολὰς συγγράψας, πᾶς ἄλλος ὢν ἢ Πλάτων, αἰσχύ-

νην κακὴν καὶ οὗτός που εἰπὼν (2, 329 β)· οὐδεὶς δ' ἄλλος τῶν Ἀττικῶν εἶπε συγγραφέων, ἥκιστα δ' ἂν Πλάτων· ἡ γάρ τοι μετὰ τὸ αἰσχρὸν αἰσχύνη κακὴ ἀείποτε τυγχάνει οὖσα· πλήθει γοῦν αὐτῷ μόνον ὁρίσασθαί που συνέβη, οἷον ἐν Γοργίᾳ (487 β) «εἰς τοσοῦτον αἰσχύνης ἐλελύθατον» καὶ ἐν Πολιτείᾳ (571 γ) «ἀπὸ πάσης αἰσχύνης λελυμένος». Πλειστάκις δ' αἰσχύνην ἁπλῶς εὑρίσκεται εἰπών, οἷον ἐν Φαίδρῳ (237 α, 241 α, 243 β, 254 γ) καὶ ἐν Συμποσίῳ (198 γ, 184 ε) καὶ ἐν Γοργίᾳ (508 β, 509 γ, 492 α) καὶ ἐν Σοφιστῇ (230 δ)· καὶ Δημοσθένης δ' ὡσαύτως, οἷον ἐν τῷ περὶ Στεφάνου (254) «αἰσχύνην συμβᾶσαν τῇ πόλει» καὶ ἀλλαχοῦ (272) «ἐν αἰσχύνῃ ποιεῖν τὴν πόλιν»· ἐν δὲ τῷ περὶ Παραπρεσβείας (358) πλήθει αὐτὴν ὡρίσατο γράψας «ἀθάνατον συνθέσθαι τὴν κατὰ τῆς πόλεως αἰσχύνην»».

(647 γ).

«Ἄφοβόν γε ἕκαστον βουληθέντες ποιεῖν φόβων πολλῶν τινων εἰς φόβον ἄγοντες αὐτὸν μετὰ νόμου τοιοῦτον ἀπεργαζόμεθα».

Ἄπορον ἡμῖν οὐχ ἧττον φαίνεται εἶναι καὶ τὸ ἄφοβον φόβων, ᾗπερ Σταλλβαύμῳ τετάχθαι δεῖν δοκεῖ, ἢ τὸ φόβων πολλῶν εἰς φόβον ἄγοντες, ὥς γ' ἕτεροί τινες λεγόμενον ὀρθῶς ἔχειν οἴονται. Τὸ μὲν γὰρ δὴ τραγικώτερόν ἐστι ῥῆμα καὶ οὐ κατὰ Πλάτωνα, ἀλλ' οἷα τὰ πᾶσι γνώριμα Σοφόκλεια ἄλυπος γήρως καὶ ἄλυπος ἄτης καὶ ἄλυπος ἀνίας καὶ ἄνατος κακῶν καὶ τὸ ἄλλοθί που τῶν Νόμων τούτων ἄτιμος τῶν παιδείων τιμῶν (810), ὁμοίως τραγικὸν ὄν, ἐν δὲ τῷ ἀνάγκῃ που τοὺς φόβους μηδὲν ἄλλο ἢ τὰ δεινὰ δηλοῦν ἢ φοβερά, ᾧπερ οὐδαμοῦ Πλάτων φανερός ἐστιν οὕτω χρησάμενος, πλήν γε ἐν Νόμοις ἐνταῦθά τε καὶ σμικρόν που χωροῦντι (648 β) «εἰς τοὺς φόβους τούτους ἄγειν»· ὅμοιον δ' ἴσως ἂν εἴη ὅπερ Σοφοκλῆς τε ἐν Οἰδίποδι εἶπε Τυράννῳ (917) «ἢν φόβους λέγῃ» καὶ ἐν Αἴαντι (531) «φόβοισιν ἐξελυσάμην» καὶ Αἰσχύλος ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβας (134) «ἐπίλυσιν φόβων δίδου».

Digitized by Google

(647 γ).

«Τί δ', ὅταν ἐπιχειρῶμέν τινα φοβερὸν ποιεῖν μετὰ δίκης, ἆρ' οὐκ ἀναισχυντίᾳ ξυμβάλλοντες αὐτὸν καὶ προσγυμνάζοντες νικᾶν διαμαχόμενον αὐτοῦ ταῖς ἡδοναῖς δεῖ ποιεῖν;»

Τὸ ἀναισχυντίᾳ τινα συμβάλλειν ταὐτόν που ὂν τῷ κινδύνῳ ἀναίσχυντον γενέσθαι ξυμβάλλειν καὶ μονῆρες τὴν χρῆσιν, πέρα τοῦ μετρίου ἂν εἴη κατὰ Πλάτωνα λόγου, ἄλλως τε καὶ εἰ πρεσβυτικὸς ἤδη τυγχάνοι ὢν καὶ ἥκιστ' ἄρα νεανιευόμενος καὶ ποιητικῶς πτερυγίζων, ὥσπερ δὴ τοῖς τοὺς Νόμους δοκιμάζουσι δοκεῖ. Συμβάλλειν δέ τινί τινα μόνον ἐνταῦθα Πλάτωνος οὕτως ἐλέχθη, καὶ συμβάλλειν τινι, εἰς χεῖρας ἰέναι σημαῖνον, ἐν Μενεξένῳ τῷ πᾶσι νόθῳ διαλόγῳ (242 α). Ἀλλοῖον δὲ δὴ πάντῃ ἐστὶ καὶ οὐδὲν κοινὸν ἔχον τὸ ἐν Πολιτικῷ (285 α) «ταῦτα διαφέροντα συμβάλλουσιν εἰς ταὐτὸν» καὶ ἐν Συμποσίῳ (184 γ) «συμβαλεῖν εἰς ταὐτὸ» καὶ ἐν Πολιτείᾳ (425 γ) ἃ (ξυμβόλαια) πρὸς ἀλλήλους συμβάλλουσι» καὶ ἐν Ἱππίᾳ μείζονι (289 β) «τὸ τῶν παρθένων γένος θεῶν γένει ἄν τις συμβάλλῃ, ἴσα τῷ παραβάλλειν δυνάμενον, καὶ ἐν Κρατύλῳ (412 γ) ῥᾴδιον ξυμβαλεῖν, τὸ γνῶναι ἢ συνιέναι δηλοῦν, καὶ τἄλλα πάντα παρὰ Πλάτωνι πολλοῦ δέοντα τοῦ οἷα τόδε εἶναι.

Τῷ δὲ προσγυμνάζειν τινὶ ἐνταῦθ' ἂν μόνον καὶ εἴ που τῶν ὑστέρων Ἀττικιστῶν ἂν περιτύχοις, Πλουτάρχου τε (Μαρκελ. 27) καὶ Δίωνος τοῦ Χρυσοστόμου (1, 2, 86) καὶ Λιβανίου (154) καὶ Μάρκου Ἀντωνίου (6, 21). Τῶν δ' Ἀττικῶν οὐδεὶς οὐδαμοῦ εἰρηκὼς εὕρηταί μοι ζητοῦντι.

(647 δ).

«ἢ τῇ διαίτῃ τῇ ἐν αὐτῷ προσμαχόμενον καὶ νικῶντα δεῖ τέλειον οὕτω γίγνεσθαι πρὸς ἀνδρείαν, ἄπειρος δὲ δήπου καὶ ἀγύμναστος ὢν τῶν τοιούτων ἀγώνων ὁστισοῦν οὐδ' ἂν ἥμισυς ἑαυτοῦ γένοιτο πρὸς ἀρετήν».

Digitized by Google

Τί ἄρ' ἂν εἴη ἡ δίαιτα ἡ ἐν αὐτῷ; Οὕτω γάρ τοι τοῦτ' εἰρῆσθαι κινδυνεύει, ὥσπερ ἂν εἴ τις καὶ ἔξω δίαιτα εἴη· Πλάτων δὲ δὴ τὰς κατὰ τὸ σῶμα ἢ τὰς διὰ τοῦ σώματος ἡδονὰς τοῦτο φιλεῖ λέγειν ἤ τι παραπλήσιον (Πολ. 328 δ, 485 δ. Φαίδ. 65 δ).

Ὁμοίως δ' ἄτοπον καὶ ἀλογώτερον ἴσως ἂν εὕροις ζητῶν καὶ τὸ προσμάχεσθαί τε καὶ νικᾶν τὴν δίαιταν· ἀνοίκεια γὰρ δὴ ταῦτα καὶ ἀναξιώτατα Πλάτωνος. Ἥκιστα δ' ἂν τὸ πάθος τοῦ λόγου ἰῷτο ὁ δειλίᾳ τὸ διαίτῃ ἐπανορθούμενος· οὐδὲν γὰρ ἧττον θαυμαστόν ἐστι καὶ τοῦτο καὶ ἄπορον καὶ πρὸς τὸ ἄρτι εἰρημένον ἡδοναῖς σφόδρ' ἀντιμαχόμενον· διόπερ καὶ οὐδεὶς τῶν τοὺς Νόμους ἐκδόντων τὸ ἐπανόρθωμα δοκιμάσας φαίνεται.

(647 ε).

«Φόβου φάρμακον ἔσθ' ὅστις θεὸς ἔδωκεν ἀνθρώποις, ὥστε . . . φοβεῖσθαι τὰ παρόντα καὶ τὰ μέλλοντα, . . . ἐκκοιμηθέντα δὲ καὶ τοῦ πώματος ἀπαλλαγέντα πάλιν ἑκάστοτε τὸν αὐτὸν γίγνεσθαι;»

Τῷ ἐκκοιμηθῆναι τούτῳ τῶν Νόμων, ἀντὶ τοῦ ἐγερθῆναι ῥηθέντι, οὐδαμοῦ ἄλλοθι τοῦ Ἕλληνος λόγου ζητῶν ἂν ἐντύχοις· Πλάτων γοῦν καὶ οἱ ἄλλοι συγγραφεῖς τε καὶ ποιηταὶ Ἀττικοί τε καὶ μή, ἀγνοήσαντες παντάπασιν τὸ ἐκκοιμᾶσθαι, πλειστάκις ἐγείρεσθαι ἢ ἐξεγείρεσθαι εὑρίσκονται εἰπόντες, οἷον Αἰσχύλος ἐν Ἀγαμέμνονι (495), Θουκυδίδης ἐν τῷ ἑβδόμῳ (51), Ξενοφῶν ἐν Κύρου Παιδείᾳ (8, 7, 2) καὶ ἐν τοῖς Πόροις (4, 41), Πλάτων ἐν Τιμαίῳ (52 Υ) καὶ ἐν Πολιτείᾳ (350 ε) καὶ ἐν Ἀπολογίᾳ (31 α) καὶ ἐν Λύσιδι (204 δ).

(648 δ).

«εἴτε τις μόνος ἐν ἐρημίᾳ . . . πρὸς τοὺς φόβους γυμνάζοιτο, πῶμα μόνον ἀντὶ μυρίων πραγμάτων παρασκευαζόμενος, ὀρθὸν ἄν τι πράττοι, εἴτε τις . . . μηδὲν ὀκνοῖ μετὰ συμποτῶν πλειόνων γυμναζόμενος ἐπιδείκνυσθαι τὴν ἐν τῇ τοῦ πώματος ἀναγκαίᾳ διαφορᾷ δύναμιν ὑπερθέων καὶ κρατῶν».

Digitized by Google

Τὸ ὑπερθεῖν τι τὸ ὑπερβάλλεσθαί τι φράζειν βουλόμενον οὔτε τοῦ Πλατωνείου οὔτε τοῦ ἄλλου καταλογάδην Ἀττικοῦ λόγου εὑρίσκεται ὄν· τῶν ποιητῶν δὲ Αἰσχύλος καὶ Εὐριπίδης χρησάμενοι φαίνονται (Εὐμ. 562. Ἀνδρ. 195. Ἀρχ. Ἀποσπ. 4), Λουκιανὸς δὲ τῶν Ἀττικιζόντων (Ἐρ. 7).

(648 ε).

Κλειν. «Ναί· σωφρονοῖ γάρ, ὦ ξένε, καὶ ὁ τοιοῦτος οὕτω πράττων».

Ὁ Κλεινίας ἐνταῦθα πρὸς τὸν τοῦ Ἀθηναίου λόγον ὑπολαβὼν εἶπεν ἀργόν ἐστι παντάπασι καὶ οὐκ ἂν ἔχοι λόγον οὐδένα λεγόμενον· εἰπόντος γὰρ τοῦ Ἀθηναίου ὡς ὀρθῶς ἂν ποιοῖ ὅ τε διὰ τέλους τῷ πότῳ ἀντέχων καὶ καρτερῶν καὶ εἴ τις τὴν τοῦ πώματος ἧτταν φοβούμενος πρὸ τῆς ἐσχάτης ἀπαλλάττοιτο πόσεως, ὁ Κλεινίας ναὶ πρὸς ταῦτ' ἀποκρίνεται, οὐδὲν ἐρωτηθείς, «σωφρονοῖ γάρ, ὦ ξένε, καὶ ὁ τοιοῦτος» ἐπάγων, οὐδὲν δέον τῷ ἀληθεῖ τῶν λεγομένων μαρτυρῶν. Ταῦτα δ' ἐτεχνήσατο ἑκάστοτ' ἀδεξίως ἡμῖν ὁ τοὺς Νόμους συγγράψας, ἵνα διάλογος εἶναι ὁ λόγος δοκοῖ, καταγέλαστον τὴν Πλάτωνος διαλεκτικὴν ἀποφαίνων.

(649 α).

«Τοῦ φόβου σχεδὸν οὔτε θεὸς ἔδωκεν ἀνθρώποις τοιοῦτον φάρμακον, οὔτε αὐτοὶ μεμηχανήμεθα· τοὺς γὰρ γόητας οὐκ ἐν θοίνῃ λέγω».

Τὸ οὐκ ἐν θοίνῃ λέγειν, ἐν παροιμίας μέρει μόνον ἐν Νόμοις εἰρημένον, οὐκ ἐν λόγῳ τίθεσθαι Πλάτων ἐν Πολιτείᾳ που (437 γ) εἶπεν, ὅτε δὴ καὶ μᾶλλον ἂν αὐτῷ νέῳ ὄντι νεανιεύεσθαι προσῆκοι. Ἀντὶ δὲ τοῦ ἐν θοίνῃ οὐ μόνον ἐν λόγῳ ἀλλὰ καὶ ἐν μοίρᾳ καὶ ἐν ἀριθμῷ μᾶλλον ἂν κατὰ λόγον χρήσεως καὶ ἔθους λέγοιτο. Θοίνην δὲ πολλάκις Πλάτων τὸ συμπόσιον ἢ εἰκάζων τὴν λόγων εὐωχίαν εἰπών, οὐδαμοῦ μὲν ὡς ἐν Νόμοις τῇ παροιμίᾳ ἐχρήσατο, οὐδαμοῦ δ' ἄλλοθι τῶν Νόμων τὴν θοίνην εἶπεν ὥσπερ ἐν Φαίδρῳ τε δὶς (236 ε, 247 β) καὶ ἐν Θεαιτήτῳ (178 δ) καὶ ἐν Σοφιστῇ (251 β) καὶ ἐν Συμποσίῳ δὶς (174 γ).

Digitized by Google

(649 α).

Ἀθ. «Πρὸς τὸν νομοθέτην λέγωμεν τάδε· . . . . τῆς ἀφοβίας καὶ τοῦ λίαν θαρρεῖν καὶ ἀκαίρως ἃ μὴ χρὴ πότερον ἔστι πῶμα ἢ πῶς λέγομεν; Κλ. Ἔστι, φήσει που, τὸν οἶνον φράζων».

Ἀντὶ τοῦ φράζειν τούτου μᾶλλον λέγειν Πλάτων ἂν εἴποι· πανταχοῦ μὲν γάρ που ὅ γε τὸ φράζειν ἐνταῦθα δηλοῦν βούλεται λέγειν αὐτῷ εἴρηται, οἷον ἐν Θεαιτήτῳ (198 α) «Μαθήσει σαφέστερον τί λέγω» καὶ ἐν Συμποσίῳ (178 δ) «λέγω δὲ δὴ τί τοῦτο;» καὶ (202 β) «τῶν μὴ εἰδότων πάντων λέγεις ἢ καὶ τῶν εἰδότων;» καὶ ἐν Φαίδρῳ (265 γ) «πῶς δὴ οὖν αὐτὸ λέγεις;» καὶ ἐν Φαίδωνι (101 α) «διαμαρτύροιο ἂν ὅτι οὐδὲν ἄλλο λέγεις ἢ ὅτι . . . .» καὶ ἐν Παρμενίδι (137 γ) «ἐμὲ λέγεις τὸν νεώτατον λέγων» καὶ ἐν Κρατύλῳ (399 δ) Ἑρμ. «πειρώμεθα καὶ ταῦτα διελεῖν.» Σωκ. «ψυχὴν λέγεις ἐπισκέψασθαι;» καὶ ἐν Πολιτείᾳ (410 δ) «τίνος δὴ πέρι λέγεις;».

Φράζειν δ' ἔστι δήπου οἷον δεικνύναι ἢ δηλοῦν ἢ σημαίνειν λέγοντα ἢ ἀγγέλλειν, οἷον ἐν Πολιτικῷ (262 γ) Ξε. «Πειρατέον σαφέστερον φράζειν» Νε. Σωκ. «Ποῖον οὖν φράζεις διαιρουμένους ἡμᾶς οὐκ ὀρθῶς δρᾶν;» καὶ ἐν Θεαιτήτῳ (189 β) «τὰ τοιαῦτα τοῖς μαθηταῖς ἐπὶ σχολῆς φράζουσιν», ὅ ἐστι διδάσκουσιν ἢ ἐξηγοῦνται, καὶ ἐν Φαίδωνι (61 β) «ταῦτα ἐκείνῳ φράζε» καὶ (57 β) «τῶν δ' ἄλλων οὐδὲν εἶχε φράζειν» καὶ ἐν Πρωταγόρᾳ (310 δ) «μέλλων σοι φράζειν ὅτι διωξοίμην αὐτόν» καὶ ἐν Μένωνι (92 δ) «τί δὴ αὐτῷ οὐ σὺ ἔφρασας;» καὶ ἐν Γοργίᾳ (463 ε) «ἐγὼ πειράσομαι φράσαι ὅ γε μοι φαίνεται εἶναι ἡ ῥητορική». Λέγεται δὲ διὰ μουσικῆς φράζειν καὶ ὁδὸν φράζειν Ξενοφῶντος ἐν Ἀπομνημονεύμασιν (1, 4, 15. 4, 2, 21), οἶνον δὲ φράζειν ἐν Κύρου Ἀναβάσει (4, 5, 29), φράσον δ' ἅπερ ἔλεξας Σοφοκλέους ἐν Φιλοκτήτῃ (559), δεῖ δ' οὐχ ἁπλῶς εἰπεῖν, ἀλλὰ σαφῶς φράσαι παρ' Ἰσοκράτει (15, 117), ἐν Ξενοφῶντος δὲ Κύρου Παιδείᾳ τὰ φραζόμενα καὶ δεικνύμενα (5, 31, 11), φράσαι δὲ κάλλιστα περὶ αὐτῶν, οἷον τὸ λόγῳ δηλῶσαι, παρ' Ἰσοκράτει (2, 41), ἐν Ἀριστοφάνους δὲ Σφηξὶ λέξον· πρὸς

Digitized by Google

εὔνους γὰρ φράσεις (385), φρασάτω δὲ πρὸς ὑμᾶς παρὰ Λυσίᾳ (4, 5), παρὰ δὲ Θουκυδίδῃ κατὰ τάχος ἔφραζον ἰέναι εἰς Ἰσθμόν, ἐσήμαινον ἢ ἐκέλευον δηλοῦν (3, 15).

Πάντα δὲ ταῦτα εἴ τις ἐπισκέψαιτο καὶ τὰ τούτοις ὅμοια οὐκ εὐάριθμα ὄντα, οὐδὲν ἂν εὕροι, οἷον τὸ ἐνταῦθα τοῦ τῶν Νόμων συγγραφέως φράζων, ἀνθ' οὗ Πλάτων λέγων ἂν ἔγραψεν.

(649 γ).

«Ἐπειδὴ τήν τε ἀνδρείαν καὶ τὴν ἀφοβίαν ἐν τοῖς φόβοις δεῖ καταμελετᾶσθαι, σκεπτέον ἆρα τὸ ἐναντίον ἐν τοῖς ἐναντίοις θεραπεύεσθαι δέον ἂν εἴη».

Διττὸν τῶν ἀπογράφων τὸ μετὰ τὸ σκεπτέον ἄρα (ἆρα) παρεχομένων, βραχυπαράληκτόν τε καὶ μακροπαράληκτον οὐδὲν ἂν ὀκνοῖμεν τῷ πολὺ κρατοῦντι ἔθει τῆς τοιαύτης τοῦ σκοπεῖσθαι ἐν τῷ λόγῳ χρήσεως πειθόμενοι εἰ ἐρωτηματικὸν παρενθεῖναι, ἀπορηματικὸν δὲ μᾶλλον τὸ ἄρα ἢ ἐρωτηματικὸν (ἆρα) αἱρεῖσθαι, σκεπτέον εἰ ἄρα τὸ ἐναντίον ἐν τοῖς ἐναντίοις θεραπεύεσθαι δέον ἂν εἴη ἀναγιγνώσκοντες.

(650 α).

«Πρὸς τἀφροδίσια ἡττημένης τινὸς ψυχῆς βάσανον λαμβάνειν ἐπιτρέποντα αὑτοῦ θυγατέρας καὶ υἱεῖς καὶ γυναῖκας (σφαλερώτερον ἢ ξυγγενόμενον μετὰ τῆς τοῦ Διονύσου θεωρίας);

Τὸ ἡττᾶσθαι πρός τι ἀντὶ τοῦ ἡττᾶσθαί τινος κείμενον τί ἄν τις διανοηθείη; Ἆρ' ἐθελήσει τις Πλατώνειον τὴν ῥῆσιν ταύτην νομίσαι; παντὶ γὰρ δῆλον ὅτι τινὸς μὲν ἢ ὑπό τινος ἡττᾶσθαι Ἀττικὸς ἀνὴρ ἂν εἴποι, εἴπερ τὸ κρατοῦν βούλοιτο σημῆναι, τινὶ δ' αὖ ἢ ἔν τινι ἢ τι ἢ περί τι, ὁπότε τὸ καθ' ὃ ἡ ἧττα εἴη μέλλοι φράζειν. Καὶ κινδυνεύων δέ τις λύχνῳ τὸν ἥλιον φαίνειν μυρί' ὅμως τοῦ λόγου τεκμήρι' ἂν εἴποι ἐξ Ἀττικῶν ποιητῶν ἢ συγγραφέων συλλέγων· ἡττᾶσθαι μὲν γάρ τινος γέγραπται ἐν Θεαιτήτῳ (148 γ) καὶ ἐν Φιλήβῳ (11 δ) καὶ ἐν Πολιτείᾳ (485 δ) καὶ ἐν Συμποσίῳ (216 β) καὶ ἐν Ἀριστοφάνους Ὄρνισι (70) καὶ ἐν Εὐριπίδου Ἑκάβῃ (1252) καὶ ἐν Ξενοφῶντος Ἑλληνικοῖς (5, 25) καὶ Κύρου Παιδείᾳ (1, 5,

Digitized by Google

11), ἡττᾶσθαι δὲ ὑπό τινος ἐν Πρωταγόρᾳ (353 α καὶ 355 β) καὶ ἐν Φαίδρῳ (233 γ) καὶ ἐν Τιμαίῳ (48 α), ἡττᾶσθαι δέ τινι ὑπὸ Δημοσθένους (127, 21), μάχῃ δὲ ἢ ναυμαχίᾳ πολλάκις ὑπὸ Ξενοφῶντος, ἡττᾶσθαι δ' ἔν τινι ἐν Ἰσοκράτους Πανηγυρικῷ (66 δ), ἡττᾶσθαι δέ τι ἐν Πανηγυρικῷ (71 α καὶ ε) καὶ Φιλίππῳ (91 δ) καὶ Παναθηναϊκῷ (286 ε) καὶ ὑπὸ Δημοσθένους (1117, 5), ἡττᾶσθαι δὲ περί τι ἐν Πλάτωνος Σοφιστῇ (239 β).

Ἀλλ' οὐδ' ἂν εἴ τις ἀκεῖσθαι τὸ κακὸν βουλόμενος ἐπτοημένης ψυχῆς ἀνθ' ἡττημένης ἀναγιγνώσκοι ἀνύτοι ἄν τι καὶ ὠφελοίη· οὐ γὰρ ἐᾷ ἡ εἰθισμένη Πλάτωνος τοῦ ἐπτοῆσθαι χρῆσις, περί τι ἐπτοῆσθαι πανταχοῦ γράψαντος, ἐν Φαίδωνί τε δὶς (68 γ καὶ 108 α) καὶ ἐν Πολιτείᾳ ἅπαξ (439 δ)· πτοεῖσθαι δὲ πρός τι Πλούταρχός τε ἔγραψέ που ἐν Σύλλᾳ τε (7) καὶ ἐν Ἠθικοῖς (989 α) καὶ Ἁρποκρατίων ἐν τῷ ὀνόματι ἀγρίοις.

Πᾶς δὲ ὁ μακρότατος οὗτος τῆς ἐν οἴνῳ διατριβῆς λόγος εἰς ἐλαχίστου λόγου ἄξιον τέλος ἀφῖκται, εἰς τὸ χρησίμην δὴ εἶναι λαβεῖν ἐν αὐτῇ ἐντελῆ καὶ ἀσινῆ πεῖραν καὶ βάσανον τοῦ ἤθους οἷς ἄν τις εἰς κοινωνίαν ἡντινοῦν ἐλθεῖν βουληθείη· Πλάτων γοῦν οὐκ ἂν ἐπὶ σμικρῷ οὕτω καὶ φαύλῳ τοσοῦτον ἄλογον ἐμήκυνε λόγον.

ΜΙΛΤΙΑΔΗΣ Ι. ΠΑΝΤΑΖΗΣ

ΕΠΑΝΟΡΘΩΣΕΙΣ

Σελ.	Στίχ.	
179	26	σκιαραὶ
180	3	ἡμῶν
182	29	(627 β)
182	33	αὐτῆς
185	28	παρ' ἀλλήλους
188	29	(630 δ)
189	3	(630 δ)
»	26	ἄγαμαι
190	15	διακελευστέον
192	13	Αἰσχίνου
194	9	τε καὶ Σουσεμίλης
»	25	κἂν
195	3	κἂν
196	14	(633 γ)
197	20	κἂν
199	26	οἷα
205	15	λεγόμενα
210	20	ταῦτα
211	19	ἐπινίκια
212	27	ὑφ' ἡμῶν
214	27	τεκτονικὴν
215	19	(644 β)
216	5	ξυμβούλῳ
217	17	(643 ε)
218	17	(645 γ)
222	22	(63 γ) . . . γενῶν
224	20	οἷον

Digitized by Google

εὔνους γὰρ φράσεις (385), φρασάτω δὲ πρὸς ὑμᾶς παρὰ Λυσίᾳ (4, 5), παρὰ δὲ Θουκυδίδῃ κατὰ τάχος ἔφραζον ἰέναι εἰς Ἰσθμόν, ἐσήμαινον ἢ ἐκέλευον δηλοῦν (3, 15).

Πάντα δὲ ταῦτα εἴ τις ἐπισκέψαιτο καὶ τὰ τούτοις ὅμοια οὐκ εὐάριθμα ὄντα, οὐδὲν ἂν εὕροι, οἷον τὸ ἐνταῦθα τοῦ τῶν Νόμων συγγραφέως φράζων, ἀνθ' οὗ Πλάτων λέγων ἂν ἔγραψεν.

(649 γ).

«Ἐπειδὴ τήν τε ἀνδρείαν καὶ τὴν ἀφοβίαν ἐν τοῖς φόβοις δεῖ καταμελετᾶσθαι, σκεπτέον ἄρα τὸ ἐναντίον ἐν τοῖς ἐναντίοις θεραπεύεσθαι δέον ἂν εἴη».

Διττὸν τῶν ἀπογράφων τὸ μετὰ τὸ σκεπτέον ἄρα (ἆρα) παρεχομένων, βραχυπαράληκτόν τε καὶ μακροπαράληκτον οὐδὲν ἂν ὀκνοῖμεν τῷ πολὺ κρατοῦντι ἔθει τῆς τοιαύτης τοῦ σκοπεῖσθαι ἐν τῷ λόγῳ χρήσεως πειθόμενοι εἰ ἐρωτηματικὸν παρενθεῖναι, ἀπορηματικὸν δὲ μᾶλλον τὸ ἄρα ἢ ἐρωτηματικὸν (ἆρα) αἱρεῖσθαι, σκεπτέον εἰ ἄρα τὸ ἐναντίον ἐν τοῖς ἐναντίοις θεραπεύεσθαι δέον ἂν εἴη ἀναγιγνώσκοντες.

(650 α).

«Πρὸς τἀφροδίσια ἡττημένης τινὸς ψυχῆς βάσανον λαμβάνειν ἐπιτρέποντα αὑτοῦ θυγατέρας καὶ υἱεῖς καὶ γυναῖκας (σφαλερώτερον ἢ ξυγγενόμενον μετὰ τῆς τοῦ Διονύσου θεωρίας);

Τὸ ἡττᾶσθαι πρός τι ἀντὶ τοῦ ἡττᾶσθαί τινος κείμενον τί ἄν τις διανοηθείη; Ἆρ' ἐθελήσει τις Πλατώνειον τὴν ῥῆσιν ταύτην νομίσαι; παντὶ γὰρ δῆλον ὅτι τινὸς μὲν ἢ ὑπό τινος ἡττᾶσθαι Ἀττικὸς ἀνὴρ ἂν εἴποι, εἴπερ τὸ κρατοῦν βούλοιτο σημῆναι, τινὶ δ' αὖ ἢ ἔν τινι ἢ τι ἢ περί τι, ὁπότε τὸ καθ' ὃ ἡ ἧττα εἴη μέλλοι φράζειν. Καὶ κινδυνεύων δέ τις λύχνῳ τὸν ἥλιον φαίνειν μυρί' ὅμως τοῦ λόγου τεκμήρι' ἂν εἴποι ἐξ Ἀττικῶν ποιητῶν ἢ συγγραφέων συλλέγων· ἡττᾶσθαι μὲν γάρ τινος γέγραπται ἐν Θεαιτήτῳ (148 γ) καὶ ἐν Φιλήβῳ (11 δ) καὶ ἐν Πολιτείᾳ (485 δ) καὶ ἐν Συμποσίῳ (216 β) καὶ ἐν Ἀριστοφάνους Ὄρνισι (70) καὶ ἐν Εὐριπίδου Ἑκάβῃ (1252) καὶ ἐν Ξενοφῶντος Ἑλληνικοῖς (5, 25) καὶ Κύρου Παιδείᾳ (1, 5,

Digitized by Google

11), ἡττᾶσθαι δὲ ὑπό τινος ἐν Πρωταγόρᾳ (353 α καὶ 355 β) καὶ ἐν Φαίδρῳ (233 γ) καὶ ἐν Τιμαίῳ (48 α), ἡττᾶσθαι δέ τινι ὑπὸ Δημοσθένους (127, 21), μάχῃ δὲ ἢ ναυμαχίᾳ πολλάκις ὑπὸ Ξενοφῶντος, ἡττᾶσθαι δ' ἔν τινι ἐν Ἰσοκράτους Πανηγυρικῷ (66 δ), ἡττᾶσθαι δέ τι ἐν Πανηγυρικῷ (71 α καὶ ε) καὶ Φιλίππῳ (91 δ) καὶ Παναθηναϊκῷ (286 ε) καὶ ὑπὸ Δημοσθένους (1117, 5), ἡττᾶσθαι δὲ περί τι ἐν Πλάτωνος Σοφιστῇ (239 β).

Ἀλλ' οὐδ' ἂν εἴ τις ἀκεῖσθαι τὸ κακὸν βουλόμενος ἐπτοημένης ψυχῆς ἀνθ' ἡττημένης ἀναγιγνώσκοι ἀνύτοι ἄν τι καὶ ὠφελοίη· οὐ γὰρ ἐᾷ ἡ εἰθισμένη Πλάτωνος τοῦ ἐπτοῆσθαι χρῆσις, περί τι ἐπτοῆσθαι πανταχοῦ γράψαντος, ἐν Φαίδωνί τε δὶς (68 γ καὶ 108 α) καὶ ἐν Πολιτείᾳ ἅπαξ (439 δ)· πτοεῖσθαι δὲ πρός τι Πλούταρχός τε ἔγραψέ που ἐν Σύλλᾳ τε (7) καὶ ἐν Ἠθικοῖς (989 α) καὶ Ἁρποκρατίων ἐν τῷ ὀνόματι ἀγρίοις.

Πῶς δὲ ὁ μακρότατος οὗτος τῆς ἐν οἴνῳ διατριβῆς λόγος εἰς ἐλαχίστου λόγου ἄξιον τέλος ἀφῖκται, εἰς τὸ χρησίμην δὴ εἶναι λαβεῖν ἐν αὐτῇ ἐντελῆ καὶ ἀσινῆ πεῖραν καὶ βάσανον τοῦ ἤθους οἷς ἄν τις εἰς κοινωνίαν ἡντινοῦν ἐλθεῖν βουληθείη· Πλάτων γοῦν οὐκ ἂν ἐπὶ σμικρῷ οὕτω καὶ φαύλῳ τοσοῦτον ἄλογον ἐμήκυνε λόγον.

ΜΙΛΤΙΑΔΗΣ Ι. ΠΑΝΤΑΖΗΣ

ΕΠΑΝΟΡΘΩΣΕΙΣ

Σελ.	Στίχ.		Σελ.	Στίχ.	
179	26	σκιαραὶ	197	20	κἀν
180	3	ἡμῶν	199	26	οἷα
182	29	(627 β)	205	15	λεγόμενα
182	33	αὐτῆς	210	20	ταῦτα
185	28	παρ' ἀλλήλους	211	19	ἐπινίκια
188	29	(630 δ)	212	27	ὑφ' ἡμῶν
189	3	(630 δ)	214	27	τεκτονικὴν
»	26	ἄγαμαι	215	19	(644 β)
190	15	διακελευστέον	216	5	ξυμβούλω
192	13	Αἰσχίνου	217	17	(643 ε)
194	9	τε καὶ Σουσεμίλης	218	17	(645 γ)
»	25	κἀν	222	22	(63 γ) . . . γενῶν
195	3	κἀν	224	20	οἷον
196	14	(633 γ)			

Digitized by Google

ΠΕΡΙ ΠΑΡΑΛΛΑΣΣΟΝΤΩΝ ΟΛΟΚΛΗΡΩΜΑΤΩΝ

Εἰς ἄθροισμα ἀπειροπληθῶν ὁμοειδῶν ἀριθμῶν ἡ τάξις τῶν προσθετέων εἶνε ἐντελῶς ἀδιάφορος· τὸ αὐτὸ δὲ ἀληθεύει, ὡς γνωστόν, καὶ περὶ ἀθροισμάτων ἀπειροπληθῶν ἑτεροειδῶν ἀριθμῶν (λ. χ. θετικῶν καὶ ἀρνητικῶν), ἐὰν οἱ ἀριθμοὶ ἑκατέρου τῶν εἰδῶν ἔχωσι πεπερασμένον ἄθροισμα· ἀλλ' ἐὰν οἱ ἀριθμοὶ ἑκατέρου τῶν ἀντιθέτων εἰδῶν δίδωσιν ἄθροισμα ὑπερβαῖνον πάντα ἀριθμόν, προβαίνωσι δὲ φθίνοντες, δύνανται νὰ ληφθῶσιν κατὰ τάξιν τοιαύτην, ὥστε τὸ ἄθροισμα αὐτῶν, κατὰ τὴν τάξιν ταύτην λαμβανομένων, νὰ τείνῃ πρὸς οἱονδήποτε θέλωμεν ἀριθμόν. Ὅτι τὰ τοιαῦτα ἀθροίσματα δὲν ἔχουσι τὰς ἰδιότητας τῶν συνήθων ἀθροισμάτων οὐδὲ ἐφαρμόζονται ἐπ' αὐτῶν οἱ συνήθεις κανόνες τῶν ἀλγεβρικῶν πράξεων, εἶνε πρόδηλον.

Ἐπειδὴ δὲ καὶ τὰ ὡρισμένα ὁλοκληρώματα δύνανται νὰ θεωρηθῶσιν ὡς ἀθροίσματα ἀπειροπληθῶν ἀριθμῶν, μοὶ ἐπῆλθε νὰ ἐξετάσω, ἂν καὶ ἐν αὐτοῖς συμβαίνῃ τι ὅμοιον· καὶ ἐπὶ μὲν τῶν ἁπλῶν ὡρισμένων ὁλοκληρωμάτων, ἐπειδὴ ἡ τάξις καθ' ἣν λαμβάνονται τὰ στοιχεῖα αὐτῶν ἐν τῇ ἀθροίσει, εἶνε προδιαγεγραμμένη καὶ οὐδὲ ἡ ἀλλαγὴ τῆς μεταβλητῆς ἀλλάσσει αὐτήν, ἡ ἀλλοίωσις τοῦ ἀθροίσματος δὲν εἶνε δυνατή· ἀλλ' ἐπὶ τῶν πολλαπλῶν ὁλοκληρωμάτων, ἐπειδὴ κατὰ τὴν διάφορον τάξιν τῶν ὁλοκληρώσεων καὶ κατὰ τοὺς διαφόρους τρόπους τῆς διαιρέσεως τοῦ τόπου τῆς ὁλοκληρώσεως προστίθενται τὰ στοιχεῖα κατὰ διάφορον τάξιν (ἂν καὶ οὐχὶ ὅλως αὐθαιρέτως ὡς ἐν ταῖς σειραῖς), τὸ εἰρημένον σύμπτωμα ὑπάρχει· τὴν δὲ ὕπαρξιν τούτου δεικνύομεν ἐν τοῖς ἑξῆς. Οἴκοθεν ἐννοεῖται, ὅτι τὸ σύμπτωμα τοῦτο μόνον ἐν ἐκείνοις τοῖς ὁλοκληρώμασι συμβαίνει, ὧν τὰ θετικὰ στοιχεῖα ἔχουσιν ἄθροισμα ἄπειρον καὶ τὰ ἀρνητικὰ ἐπίσης· ἐπειδὴ δὲ ἡ ὁλοκληρουμένη συνάρτησις ὑποτίθεται συνεχής, ἕπεται ὅτι ὁ τόπος τῆς ὁλοκληρώσεως κατ' ἀνάγκην θὰ εἶνε ἄπειρος.

Digitized by Google

Θεωρήσωμεν τὸ διπλοῦν ὁλοκλήρωμα

$$\int_\alpha^\infty \int_\beta^\infty \frac{d^2 \varphi(x, y)}{dx\, dy} dx\, dy \qquad (1)$$

ἐν ᾧ φ (x, y) δηλοῖ τυχοῦσαν συνάρτησιν τῶν x καὶ y· ἐὰν ὁλοκληρώσωμεν πρῶτον πρὸς y, θὰ ἔχωμεν ἐξαγόμενον τὸ ἑξῆς·

$$\left(\frac{d\varphi}{dx}\right)_{y=\beta}^{y=\infty}$$

καὶ ἐπειδὴ ἐν τῇ διαφορίσει τοῦ φ (x, y) πρὸς x, ἡ y θεωρεῖται ὡς σταθερά, δυνάμεθα νὰ θέσωμεν ἐν αὐτῇ τὰς τιμὰς τοῦ y καὶ πρὸ τῆς διαφορίσεως· διὰ τοῦτο τὸ ἐξαγόμενον τῆς ὁλοκληρώσεως πρὸς y γράφεται καὶ ὡς ἑξῆς

$$\frac{d}{dx}\left\{ \varphi(x, \infty) - \varphi(x, \beta) \right\}$$

ὥστε τὸ ὁλοκλήρωμα (1) καταντᾷ

$$\int_\alpha^\infty \frac{d}{dx}\left\{ \varphi(x, \infty) - \varphi(x, \beta) \right\} dx$$

καὶ ἑπομένως ἰσοῦται τῷ

$$\Big[\varphi(x, \infty) - \varphi(x, \beta) \Big]_{x=\alpha}^{x=\infty}$$

ἤτοι τῷ ἑξῆς

$$\varphi(\overline{\infty}, \infty) - \varphi(\bar{\alpha}, \infty) - \varphi(\overline{\infty}, \beta) + \varphi(\bar{\alpha}, \beta) \qquad (2)$$

Ἐσημειώσαμεν διὰ γραμμῆς — τὰς τιμὰς τῆς x, αἵτινες τίθενται δεύτεραι ἐν τῇ συναρτήσει φ (x, y) μετὰ τὴν ἐγκατάστασιν τῶν τιμῶν τοῦ y

Ἀλλ' ἐὰν ἐκτελέσωμεν τὰς ὁλοκληρώσεις κατ' ἀντίστροφον τάξιν, θὰ εὕρωμεν ἐξαγόμενον τὸ ἑξῆς

$$\varphi(\infty, \overline{\infty}) - \varphi(\alpha, \overline{\infty}) - \varphi(\infty, \bar{\beta}) + \varphi(\alpha, \bar{\beta}) \qquad (3)$$

Digitized by Google

ἔνθα αἱ τιμαὶ τοῦ y, ὡς δεύτεραι νῦν ἐρχόμεναι, ἐσημειώθησαν διὰ γραμμῆς —.

Τὰ δύο ἐξαγόμενα (2) καὶ (3) ἐν γένει μὲν εἶνε ἴσα· ἐνίοτε ὅμως διαφέρουσιν· ἔστω π. χ. τὸ ὁλοκλήρωμα

$$\int_1^\infty \int_1^\infty \frac{d^2\left(\text{τοξεφ}\ \frac{y}{x}\right)}{dx\,dy} dx\,dy$$

ἤτοι $$\int_1^\infty \int_1^\infty \frac{x^2-y^2}{(x^2+y^2)^2}\,dx\,dy \qquad (4)$$

Ἐν τῷ τόπῳ τῆς ὁλοκληρώσεως ἡ συνάρτησις $\frac{x^2-y^2}{(x^2+y^2)^2}$ εἶνε πανταχοῦ συνεχὴς καὶ πεπερασμένη, ἡ δὲ ἐπιφάνεια

$$z = \frac{x^2-y^2}{(x^2+y^2)^2}\,.$$

ἧς τινος ἡ κατηγμένη παριστᾷ τὴν συνάρτησιν ταύτην, τέμνει τὸ ἐπίπεδον τῶν xy κατὰ τὰς εὐθείας $y = \pm x$, αἵτινες διχοτομοῦσι τὰς γωνίας τῶν ἀξόνων ox, oy, καὶ ἔχει ἀσύμπτωτον τὸ ἐπίπεδον αὐτῶν· διότι, ὅταν τὸ σημεῖον xy ἀπομακρύνηται εἰς ἄπειρον ἀκολουθοῦν οἱανδήποτε γραμμήν, ἡ κατηγμένη τείνει πρὸς τὸ 0· (τοῦτο φαίνεται κάλλιον διὰ τῶν πολικῶν συντεταγμένων, διότι εἶνε $z = \frac{\text{συν}2\theta}{\rho^2}$).

Ἐὰν ὁλοκληρώσωμεν πρῶτον πρὸς y, εὑρίσκομεν ἐξαγόμενον τὸ ἑξῆς

$$dx.\left[\frac{+y}{x^2+y^2}\right]_{y=1}^{y=\infty} \quad \text{ἤτοι} \quad \frac{-1}{1+x^2}\,dx.$$

Ἐὰν δὲ ὁλοκληρώσωμεν ἔπειτα πρὸς x, εὑρίσκομεν ἐξαγόμενον τὸ

$$-\frac{\pi}{4}.$$

Ἀλλ' ἐὰν ἐκτελέσωμεν τὰς ὁλοκληρώσεις κατ' ἀντίστροφον τάξιν, πρῶτον μὲν εὑρίσκομεν τὸ

Digitized by Google

$$dy . \left[\frac{-x}{x^2+y^2} \right]_{x=1}^{x=\infty} \quad \text{ἤτοι} \quad \frac{+1}{1+y^2}\, dy.$$

ἔπειτα δὲ εὑρίσκομεν τελικὸν ἐξαγόμενον τὸ $+\frac{\pi}{4}$.

Ἡ ἐξήγησις τοῦ συμπτώματος τούτου εἶνε, κατὰ τὰ ἐν ἀρχῇ εἰρημένα, εὐκολωτάτη. Καὶ ὄντως ὁ τόπος τῆς ὁλοκληρώσεως εἶνε ἡ γωνία $\Psi_1 O_1 X_1$ (ἔνθα $O_1 X_1$ καὶ $O_1 \Psi_1$ εἶνε παράλληλοι κατὰ σειρὰν τοῖς OX καὶ $O\Psi$ τὸ δὲ σημεῖον O_1 ἔχει συντεταγμένας $(1, 1)$) καὶ τὸ ὁλοκλήρωμα (4) ἔχει θετικὰ μὲν στοιχεῖα τὰ ἐκ τῶν μερῶν τοῦ τόπου $\Sigma O_1 X_1$ προερχόμενα ($O_1 \Sigma$ ἡ διχοτομοῦσα τὴν γωνίαν $\Psi_1 O_1 X_1$) ἀρνητικὰ δὲ τὰ ἐκ τῶν μερῶν τοῦ $\Sigma O \Upsilon_1$· καὶ ἀντιστοιχεῖ πρὸς ἕκαστον θετικὸν στοιχεῖον ἕτερον ἀρνητικὸν καὶ ἀπολύτως ἴσον· εἶνε δὲ τὸ ἄθροισμα τῶν θετικῶν στοιχείων ἄπειρον· ἐπίσης καὶ τὸ ἄθροισμα τῶν ἀρνητικῶν, ὡς εὐκόλως βλέπει τις. Ἀλλ' ὅταν ὁλοκληρώσωμεν πρῶτον πρὸς x, λαμβάνομεν καὶ προσθέτομεν ὀλίγα μὲν ἀρνητικὰ (τὰ προερχόμενα ἐκ τῶν μερῶν τοῦ τόπου $\Pi\Pi' NN$, ἔνθα ΠN καὶ $\Pi' N'$ εἶναι δύο τυχοῦσαι παράλληλοι τῇ OX εἰς ἀπειροστὴν ἀπ' ἀλλήλων ἀπόστασιν (dy) καὶ τέμνουσαι τὴν $O\Sigma$ εἰς τὰ σημεῖα N καὶ N') ἀπειροπληθῆ δὲ θετικὰ (τὰ μεταξὺ τῶν αὐτῶν παραλλήλων καὶ ἐν τῇ γωνίᾳ $\Sigma O_1 X_1$ περιεχόμενα)· διὰ τοῦτο τὸ ἐξαγόμενον τῆς πρώτης ὁλοκληρώσεως εἶνε θετικόν, ἑπομένως καὶ τὸ τελικὸν ἐξαγόμενον θετικόν· ἐνῷ τοὐναντίον συμβαίνει, ὅταν ὁλοκληρώσωμεν πρῶτον πρὸς y.

Οὐ μόνον τὰς δύο ἀντιθέτους τιμὰς $\frac{\pi}{4}$ καὶ $-\frac{\pi}{4}$ ἀλλὰ καὶ πᾶσαν ἄλλην τιμὴν εὑρίσκομεν ἐκ τοῦ ὁλοκληρώματος (1), ἐὰν καταλλήλως διαιρέσωμεν τὸν τόπον $\Psi_1 O_1 X_1$ τῆς ὁλοκληρώσεως. Ἵνα δείξωμεν τοῦτο, νοήσωμεν διῃρημένον τὸν τόπον τοῦτον $\Psi_1 O_1 X_1$ διὰ τῶν δύο σειρῶν παραλλήλων εὐθειῶν

$$\begin{aligned} x\,\eta\mu\varphi - y\,\sigma\upsilon\nu\varphi &= p \\ x\,\sigma\upsilon\nu\varphi + y\,\eta\mu\varphi &= q \end{aligned} \qquad o < \varphi < \frac{\pi}{2}$$

ἂς παριστῶσιν αἱ ἐξισώσεις αὗται, ὅταν αἱ παράμετροι p, q μετα-

Digitized by Google

βάλλωνται. Αἱ εὐθεῖαι αὗται διαιροῦσι τὸν τόπον τῆς ὁλοκληρώσεως εἰς ὀρθογώνια καὶ τὸ ὁλοκλήρωμα (1) μετασχηματιζόμενον εἰς τὰς συντεταγμένας p, q, γίνεται

$$\int\int_{(X_1O_1\Psi_1)} \frac{(q^2-p^2)\,\text{συν}2\varphi + 2pq\,\text{ημ}2\varphi}{(p^2+q^2)^2}\,dpdq$$

Ὁλοκληροῦντες πρῶτον πρὸς p καὶ παρατηροῦντες, ὅτι τοῦ q ἔχοντος τυχοῦσαν τιμήν, ἡ p μεταβάλλεται ἐν τῷ τόπῳ $X_1\ O_1\ \Psi_1$ ἀπὸ τῆς τιμῆς

$$\frac{1-q\,\text{συν}\varphi}{\text{ημ}\varphi} \qquad \text{μέχρι τῆς} \quad \frac{q\,\text{ημ}\varphi - 1}{\text{συν}\varphi}$$

εὑρίσκομεν ἐξαγόμενον τὸ ἑξῆς

$$\left(\frac{q\,\text{ημ}\varphi\,\text{συν}\varphi - \text{ημ}\varphi\,\text{συν}2\varphi}{1+q^2-2q\,\text{συν}\varphi} - \frac{q\,\text{ημ}\varphi\,\text{συν}\varphi + \text{συν}\varphi\,\text{συν}2\varphi}{1+q^2-2q\,\text{ημ}\varphi}\right).\ dq$$

Ὁλοκληροῦντες δὲ ἔπειτα πρὸς q καὶ παρατηροῦντες ὅτι ἡ μεταβλητὴ q μεταβάλλεται ἐν τῇ γωνίᾳ $\Upsilon_1\ O_1\ X_1$ ἀπὸ τῆς τιμῆς ημφ+συνφ μέχρις ∞, εὑρίσκομεν τελικὸν ἐξαγόμενον τὸ ἑξῆς

$$-\frac{\pi}{4}\,\text{συν}2\varphi - \text{ημ}\varphi.\ \text{συν}\varphi.\ l\,(\varepsilon\varphi\varphi).$$

ὅπερ ἐξαρτᾶται ἐκ τῆς γωνίας φ καὶ περιλαμβάνεται μεταξὺ

$-\frac{\pi}{4}$ καὶ $+\frac{\pi}{4}$.

Ἐὰν τέλος ὁλοκληρώσωμεν πρῶτον πρὸς q καὶ ἔπειτα πρὸς p, τὰ μὲν ὅρια τοῦ q θὰ εἶνε

$$\frac{1-p\,\text{ημ}\varphi}{\text{συν}\varphi} \quad \text{μέχρις } \infty,\ \text{ἐὰν } p<\text{ημ}\varphi-\text{συν}\varphi$$

$$\text{καὶ}\quad \frac{1+p\,\text{συν}\varphi}{\text{ημ}\varphi} \quad \text{μέχρις } \infty,\ \text{ἐὰν } p>\text{ημ}\varphi-\text{συν}\varphi$$

τὸ δὲ τελικὸν ἐξαγόμενον εἶνε

$$\frac{\pi}{4}\,\text{συν}2\varphi - \text{ημ}\varphi\,\text{συν}\varphi\,l\,(\varepsilon\varphi\varphi) +$$

$$+\,\text{ὅρ}\left\{\frac{1}{2}\text{ημ}\varphi.\text{συν}\varphi\ l\left(\frac{1+\alpha^2+2\alpha\,\text{συν}\varphi}{1+\beta^2+2\beta\,\text{ημ}\varphi}\right)\right\} \begin{matrix}\text{ὅταν } \alpha=\infty \\ \text{καὶ } \beta=\infty\end{matrix}$$

Digitized by Google

ἑπομένως ὡς τιμὴ τοῦ ὁλοκληρώματος δύναται νὰ προκύψῃ ὁ τυχὼν ἀριθμός, ἀρκεῖ νὰ ὁρισθῇ καταλλήλως ὁ λόγος τῶν ἀριθμῶν α καὶ β, οἵτινες αὐξάνουσιν εἰς ἄπειρον.

Τὰ πολλαπλᾶ ὁλοκληρώματα, ὧν ἡ τιμὴ ἀλλάσσει κατὰ τὴν διάφορον τάξιν τῶν ὁλοκληρώσεων ἢ κατὰ τὴν διάφορον διαίρεσιν τοῦ τόπου τῆς ὁλοκληρώσεως, καλῶ *παραλλάσσοντα*· τὰ δὲ διαμένοντα ἀμετάβλητα καλῶ *μόνιμα*.

Τὰ ὁλοκληρώματα τῆς μορφῆς

$$\int_\alpha^\infty \int_\beta^\infty \frac{d^2\varphi\left(\frac{y}{x}\right)}{dx\,dy}\,dx\,dy.$$

ἔνθα φ δηλοῖ τυχοῦσαν συνάρτησιν τοῦ $\frac{y}{x}$, εἶνε *ἐν γένει* παραλλάσσοντα.

Τοῦ ὁλοκληρώματος (4) ὁ τόπος σύγκειται ἐκ δύο μερῶν ($x>y$ καὶ $x<y$) ἐξ ὧν εἰς μὲν τὸ πρῶτον τὰ στοιχεῖα τοῦ ὁλοκληρώματος εἶνε θετικὰ εἰς δὲ τὸ δεύτερον ἀρνητικά· ἀλλ' ὑπάρχουσι καὶ παραδείγματα ὁλοκληρωμάτων παραλλασσόντων, ὧν ὁ τόπος σύγκειται ἐξ ἀπειροπληθῶν μερῶν τοιούτων. π. χ. τὸ ὁλοκλήρωμα

$$\int_\alpha^\infty \int_\beta^\infty \frac{d^2\left(\text{τοξεφ}\left(\frac{y}{x}\ \eta\mu x\right)\right)}{dx\,dy}dxdy$$

ἤτοι $$\int_\alpha^\infty \int_\beta^\infty \frac{(x\sigma\upsilon\nu x-\eta\mu x)\ (x^2-y^2\ \eta^2\mu x)}{(x^2+y^2\ \eta^2\mu x^2)^2}\,dx\,dy$$

Ἐὰν πρῶτον ὁλοκληρώσωμεν πρὸς y μεταξὺ τῶν ὁρίων β καὶ ∞ καὶ ἔπειτα πρὸς x μεταξὺ τῶν ὁρίων α καὶ ∞, εὑρίσκομεν ἐξαγόμενον τὸ ἑξῆς

$$\text{τοξεφ}\left(\frac{\beta}{\alpha}\ \eta\mu\alpha\right)$$

Digitized by Google

ἐὰν δὲ ἀντιστρόφως ἐκτελέσωμεν τὰς ὁλοκληρώσεις, εὑρίσκομεν

$$\text{τοξ εφ}\left(\frac{\beta}{\alpha}\,\eta\mu\alpha\right) - \frac{\pi}{2}.$$

α καὶ β ὑποτίθενται θετικοὶ ἀριθμοὶ καὶ $\eta\mu\alpha > o$.

Τὰ ἁπλᾶ ὁλοκληρώματα, ὧν τὰ θετικὰ στοιχεῖα ἔχουσιν ἄθροισμα ἄπειρον καὶ τὰ ἀρνητικὰ ἐπίσης, οἷον εἶνε τὸ

$$\int_0^\infty \frac{\eta\mu x}{x}\,dx$$

δὲν παραλλάσσουσι μὲν ἐν ὅσῳ μένουσιν ἁπλᾶ· διότι, ὡς ἐν ἀρχῇ εἴπομεν, ἡ τάξις καθ' ἣν λαμβάνονται καὶ ἀθροίζονται τὰ στοιχεῖα αὐτῶν εἶνε ἐντελῶς ὡρισμένη· ὁ συνδυασμὸς ὅμως αὐτῶν μετ' ἄλλων δύναται νὰ δώσῃ πολλαπλᾶ ὁλοκληρώματα παραλλάσσοντα καὶ διὰ τοῦτο δὲν πρέπει νὰ γίνηται ἀνεξετάστως.

Θεωρήσωμεν π. χ. τὸ ὁλοκλήρωμα $\int_0^\infty \frac{\eta\mu x}{x}\,dx$.

Ἐὰν πολλαπλασιάσωμεν ἕκαστον τῶν στοιχείων αὐτοῦ ἐπὶ τὸ ὁλοκλήρωμα

$\int_0^\infty \frac{\eta^2\mu(x\,y)}{y^2}\,dy = \frac{\pi}{2}x$ (οὗτινος πάντα τὰ στοιχεῖα εἶνε θετικὰ καὶ ὅπερ ἰσοῦται τῷ $\frac{\pi}{2}x$) καὶ ὁλοκληρώσωμεν ἔπειτα, εὑρίσκομεν,

$$\int_0^\infty \frac{\eta\mu x}{x}\,dx \int_0^\infty \frac{\eta^2\mu(xy)}{y^2}\,dy = \frac{\pi}{2}\int_0^\infty \eta\mu x\,dx,$$ ἤτοι ἀόριστον.

Ἀλλ' ἐὰν ἐκτελέσωμεν τὰς ὁλοκληρώσεις κατ' ἀντίστροφον τάξιν

Digitized by Google

(ἂν δηλαδὴ ἐφαρμόσωμεν ἐπὶ τῶν ἀθροισμάτων τούτων τοὺς νόμους τῶν κοινῶν ἀθροισμάτων), ἐπειδὴ εἶνε

$$\int_0^\infty \frac{\eta\mu x . \eta^2\mu(xy)}{x} dx = \frac{\pi}{2} \text{ ἂν } y > \frac{1}{2} \text{ καὶ } 0 \text{ ἂν } y < \frac{1}{2},$$

εὑρίσκομεν

$$\int_0^\infty \int_0^\infty \frac{\eta\mu x}{x} \frac{\eta^2\mu(xy)}{y^2} dxdy = \frac{\pi}{2} \int_{\frac{1}{2}}^\infty \frac{dy}{y^2} = \pi.$$

Ὅμοιον συμβαίνει καὶ εἰς τὸ ὁλοκλήρωμα

$$\int_0^\infty \eta\mu(x^2)dx.$$

ἐὰν πολλαπλασιασθῇ ἕκαστον τῶν στοιχείων αὐτοῦ ἐπὶ τὸ ὁλοκλήρωμα

$$\int_0^\infty \frac{\eta^2\mu(x^2y)}{y^2} dy,$$

διότι τὸ προκύπτον διπλοῦν ὁλοκλήρωμα

$$\int_0^\infty \int_0^\infty \eta\mu(x^2) \frac{\eta^2\mu(x^2y)}{y^2} dxdy$$

εἶνε παραλλάσσον.

Ι. Ν. ΧΑΤΖΙΔΑΚΙΣ

Digitized by Google

ΒΙΒΛΙΟΚΡΙΣΙΑ

Handbuch der neugriechischen Volkssprache. Grammatik. Texte. Glossar. von Dr. Albert Thumb (Ἐγχειρίδιον τῆς νεωτέρας Ἑλληνικῆς γλώσσης. Γραμματική. Κείμενα. Γλωσσάριον ὑπὸ Δρ. Ἀλβέρτου Thumb. σελ. κε', 240).

Τῇ ὑπὸ τοῦ κ. Wilh. Meyer-Lübke ἐκδοθείσῃ καὶ διὰ πολλῶν σχολίων κοσμηθείσῃ Γραμματικῇ Σίμωνος Πορτίου (πρβλ. Ἀθηνᾶς Τόμ. Α' σελ. 512) ἠκολούθησε ταχέως τὸ ἀνωτέρω ἀναγραφὲν ἐγχειρίδιον τοῦ κ. Thumb, χαρμόσυνον πάντως σημεῖον τοῦ ὅτι ἡ νεωτέρα ἡμῶν δημοτικὴ γλῶσσα ἐξῆλθεν ἐκ τῆς ἀφανείας καὶ ἀχρηστίας, εἰς ἣν παλαιαὶ καὶ πολλαὶ ἁμαρτίαι εἶχον αὐτὴν καταδικάσει, καὶ ἤρξατο κατὰ μικρὸν νὰ γίνηται ὑποκείμενον ἀξιολόγων μελετῶν.

Ἀλλὰ πρὸς τούτοις τὸ βιβλίον τοῦ κ. Thumb διαφέρει πολὺ τοῦ κ. Meyer-Lübke, ὅτι τοῦτο κυρίως δὲν εἶχε πρακτικὸν σκοπόν, ἤτοι νὰ καταστήσῃ προσιτὴν καὶ εὔκολον τὴν γνῶσιν τῆς καθ' ἡμᾶς Ἑλληνικῆς παντὶ πεπαιδευμένῳ, ἀλλὰ μᾶλλον νὰ ἑρμηνεύσῃ πολλὰ αὐτῆς φαινόμενα, ἅτινα ἀνέγραψε μὲν ὁ Πόρτιος, κατέλιπε δέ, ὡς εἰκός, ἀνερμήνευτα· ἐπὶ τοῦτο δὲ παρέλαβεν εἰς ἐξέτασιν τἀρχαιότερα μάλιστα γλωσσικὰ μνημεῖα (τὰ ἀπὸ τοῦ 11ου αἰῶνος κἑξ.), εἰς ἃ καὶ συχνότατα παραπέμπει. Διὰ ταῦτα δὲ καὶ ἦτο μὲν χρήσιμον τοῖς βουλομένοις νὰ μάθωσι τὸν ἱστορικὸν λόγον τινῶν φαινομένων τῆς δημώδους γλώσσης ἡμῶν, ἀλλὰ δὲν παρεῖχεν πλήρη εἰκόνα τῆς ὅλης νεωτέρας Ἑλληνικῆς, οὐδ' ἠδύνατό τις ἐκ τούτου νὰ μάθῃ τὰ ἰδιάζοντα τῇ κοινῇ λαλουμένῃ ἢ τὰ τῶν διαλέκτων. Πρόσθες ὅτι σχολιάζων τὸ βιβλίον τοῦ Πορτίου δὲν ἠδύνατο ἢ ν' ἀκολουθήσῃ καὶ διαφυλάξῃ τὴν οἰκονομίαν αὐτοῦ καὶ νὰ ἐγκατασπείρῃ τὰς ἑρμηνείας οὐχὶ κατά τι σύστημα, ἀλλ' ὅπως ἡ τάξις τῶν τοῦ Πορτίου κανόνων ἀπῄτει. Πάντα τἀναπόφευκτα μειονεκτήματα ταῦτα ἐλλείπουσιν, ὡς εἰκός, ἐκ τοῦ βιβλίου τοῦ κ. Thumb· διότι οὗτος οὐχὶ ἑρμηνείαν φαινομένων τινῶν ἀλλ' ἀναγραφὴν τοῦ καθόλου γραμματικοῦ διακόσμου τῆς

Digitized by Google

δημώδους γλώσσης ἐπεβάλετο νὰ διαγράψῃ, οὐδ' ἠναγκάσθη νὰ κατακολουθῇ σχεδίῳ ἄλλου τινός, ἀλλ' ὅπερ αὐτὸς ὑπέλαβε κατάλληλον, τοῦτο καὶ ἐφήρμοσεν.

Ἐπειδὴ δέ, καθ' ἃ ἐλέχθη, ὁ κ. Thumb κατὰ τὴν σύνταξιν τοῦ ἔργου αὐτοῦ σκοπὸν εἶχε νὰ συγγράψῃ βιβλίον χρήσιμον τοῖς ἐπιθυμοῦσι νὰ μάθωσι τὴν δημοτικὴν ἡμῶν γλῶσσαν, προσέσχε φύσει μᾶλλον τῇ νῦν λαλουμένῃ ἢ τῇ τῶν παλαιοτέρων αἰώνων. Καὶ χάριν εὐκολωτέρας ἀναγνώσεως ἀπέκλεισεν ἐκ τοῦ ἐγχειριδίου αὐτοῦ πᾶσαν παραπομπήν. Ἀλλ' οὐχ ἧττον ἐπιμελῶς καὶ εὐσυνειδήτως παρηκολούθησε καὶ ἐμελέτησε πάντα ὅσα κατὰ τὰ τελευταῖα ἔτη περὶ τῆς γλώσσης ταύτης ἐδιδάχθησαν, ὅπως εἰδήμων παρατηρητὴς εὐκόλως ἀνὰ πᾶσαν σελίδα δύναται νὰ ἴδῃ.

Ἀλλ' οὐχ ἁπλῶς καὶ μόνον πρακτικὸν σκοπὸν ἐπεδίωξεν ὁ κ. συγγραφεύς, ἀλλ' ἐζήτησεν ἅμα καὶ νὰ γνωρίσῃ τοῖς ἐπιστήμοσι φιλολόγοις ὑποτυπωδῶς τοὐλάχιστον τὴν ἱστορικὴν ἀνέλιξιν τῆς γλώσσης περὶ ἧς διαλαμβάνει. Ἐντεῦθεν εἰ καὶ συντάσσει καθόλου εἰπεῖν περιγραφικὴν γραμματικήν, οὐχ ἧττον συχνὰ ὑποδεικνύει καὶ τὴν ὀρθὴν ἑρμηνείαν, οὐδ' ἠδύνατο βεβαίως νὰ πράξῃ ἄλλως ἀνὴρ κάτοχος τοιαύτης ἐπιστημονικῆς μορφώσεως οἵας ὁ κ. Thumb. Ἐπ' ἴσης δὲν δημοσιεύει διαλόγους ἢ τοιαύτας καθόλου συνομιλίας, δι' ὧν οἱ κανόνες τῆς γραμματικῆς θὰ διεφωτίζοντο καὶ θὰ ἐστερεοῦντο ἐν τῇ μνήμῃ τῶν ἀναγνωστῶν, καὶ αἵτινες θὰ ἦσαν χρήσιμοι αὐτοῖς, ἀλλὰ παροιμίας, ᾄσματα, παραμύθια κττ. φέροντα τοπικὸν χαρακτῆρα, ἤτοι γεγραμμένα ἐν διαλέκτοις, δι' ὧν πλουτίζεται τοῦ ἐπιστήμονος ἐρευνητοῦ ἡ γνῶσις καὶ παρακινεῖται οὗτος εἰς ἰδίαν ἔρευναν. Ταῦτα δὲ πάντα κατέστησαν τὸ ἐγχειρίδιον αὐτοῦ τὸ κράτιστον μὲν τῶν μέχρι τοῦδε ἐκδοθέντων ὁμοίων περὶ τῆς νέας ἡμῶν γλώσσης, ἱκανὸν δὲ ἵνα ληφθῇ ὡς βάσις κατὰ τὴν διδασκαλίαν ἢ σύνταξιν τελειοτέρου.

Ἐπειδὴ δ' ὁ κ. συγγραφεὺς ἐπεβάλετο νὰ παράσχῃ εἰκόνα ὅσον οἷόν τε ἀκριβῆ τῆς ἀπὸ τῆς συστάσεως μάλιστα τοῦ Ἑλληνικοῦ βασιλείου σχηματισθείσης καὶ σήμερον ἰδίως ἐν ταῖς πόλεσιν εὐχρηστούσης κοινῆς λαλουμένης (πρβλ. Ἀθηνᾶς Τόμ. Β' σελ. 212 κἑξ. καὶ ἀνωτ. 148), φυσικώτατον ἦτο νὰ προσκρούσῃ πρὸς πολλὰς καὶ σχεδὸν εἰπεῖν ἀνυπερβλήτους δυσκολίας, ἅτε οὐδ' ὑπὸ τῶν ἡμετέρων ποιητῶν πάντοτε ἀκριβῶς διαγινωσκομένων τῶν ὁρίων τῆς λαλουμένης κοινῆς ταύτης

Digitized by Google

τοῦτο μὲν ἀπὸ τῶν διαλέκτων τοῦτο δὲ ἀπὸ τῆς καθαρευούσης ἢ γραφομένης. Ἐντεῦθεν πολλάκις ἀναγράφει λέξεις ἢ τύπους διαλεκτικοὺς παρὰ τοὺς τῆς κοινῆς καὶ κανόνας ὅλους περὶ διαλεκτικῶν παρὰ τοὺς τῆς κοινῆς. Ἐπὶ τοῦτο δ' ὅμως ἤγαγε τὸν κ. συγγραφέα καὶ ἡ τάσις αὐτοῦ τοῦ μνημονεῦσαι καὶ διαλευκᾶναι ὅσον οἷόν τε πλεῖστα. Τοῦτο βεβαίως καθ' ἑαυτὸ εἶναι παντὸς ἐπαίνου ἄξιον, οὐχ ἧττον ὁμολογητέον ὅτι παρακωλύει πως τὴν ταχεῖαν τῆς κοινῆς λαλουμένης ἐκμάθησιν καὶ παραβλάπτει τὸν πρακτικὸν σκοπὸν τοῦ βιβλίου.

- Ὅτι δὲ καί τινα ἀνθρώπινα τὰ μὲν ἐξ ἀβλεψίας τῶν στοιχειοθετῶν, τὰ δὲ καὶ ἐκ μετεωρίας αὐτοῦ τοῦ κ. συγγραφέως παρεισέφρησαν εἰς τὸ καλὸν τοῦτο βιβλίον, οὐδὲν θαῦμα· οὕτω λ. χ. σελ. 29 γράφεται Μοριώτης πάντως ἀντὶΠοριώτης, σελ. 38 κέρα ἀντὶ κερά, σελ. 48 ζητιάνος ζητιανειά, κακόμοιρος κακομοιρειὰ ἀντὶ ζητιάνος ζητιάνα, κακόμοιρος κακομοίρα, 49 ψευδὸς= ψεῦδης ἀντὶ ψελλός, 87 ἔπλυσα παρὰ τὸ ἔπλυνα ὅπερ ἀνύπαρκτον, πανταχοῦ γράφεται σβύνω σβυσμένος κττ. ἀντὶ σβήνω σβησμένος κττ. κτλ. Ἀλλὰ παρὰ πάντα ταῦτα τὸ βιβλίον τοῦτο, καθ' ἃ εἶπον, κατά τε τὴν ἐπιστημονικὴν κατάταξιν τῆς ὕλης καὶ τὸ πλῆθος τῶν ἐπιστημονικῶν ἀληθειῶν ὑπερέχει πάντων τῶν μέχρι τοῦδε γραμματικῶν τῆς νεωτέρας Ἑλληνικῆς καὶ μετὰ πολλῆς χαρᾶς χαιρετίζω τὴν ἐμφάνισιν αὐτοῦ εὐχόμενος, ἵνα τάχιστα ἴδῃ καὶ ἄλλας ἐπανειλημμένας ἐκδόσεις καὶ βελτιώσεις.

Γ. Ν. ΧΑΤΖΙΔΑΚΙΣ

Διαγραπτέον τὰ ἐν σελ. 119 στ. 4 κάτωθεν «Καλλῖνος, Πασῖνος κττ.», περὶ ὧν τὸ ἀληθὲς ἐδίδαξε Kretschmer ἐν Περιοδικῷ Kuhn Τομ. ΛΑ' σελ. 3?4 σημ. 1. πρβλ. καὶ W. Schulze ἐν Quaestiones Epicae σελ. 304 καὶ 508.

Digitized by Google

ΔΗΛΩΣΙΣ ΤΗΣ ΔΙΕΥΘΥΝΣΕΩΣ ΤΗΣ ΑΘΗΝΑΣ

Ἡ Διεύθυνσις τῆς Ἀθηνᾶς δηλοῖ ὅτι δέχεται μὲν καὶ δημοσιεύει προθύμως ἐπανόρθωσιν γενομένου τυχὸν πρὸς οἱονδήποτε ἀδικήματος εἴτε ἐν βιβλιοκρισίᾳ εἴτε ἐν ἄλλῃ πραγματείᾳ κατακεχωρισμένῃ ἐν τῷ περιοδικῷ παρέχουσα πρὸς τοῦτο σχεδὸν ὅσον ἡ ἐπανορθουμένη κρίσις κατεῖχε χῶρον, δὲν νομίζει δ' ὅμως ὅτι ὀφείλει νὰ παραδέχηται πρὸς δημοσίευσιν καὶ συζήτησιν πραγματείας λογίων, ἀλλοτρίων τῆς ἐπιστημονικῆς ἑταιρείας ὄντων καὶ πρεσβευόντων ἐν τῇ φιλολογίᾳ ἀρχάς, ἃς ἡ ἐπιστημονικὴ ἑταιρεία δὲν κρίνει λυσιτελεῖς εἰς τὴν φιλολογικὴν ἐπιστήμην, ἄλλως τε καὶ ἀφοῦ ὁ τοῦ περιοδικοῦ χῶρος μόλις ἐξαρκεῖ εἰς καταχώρισιν τῶν ὑπὸ ἑταίρων συντασσομένων πραγματειῶν.

Digitized by Google

ΚΑΝΟΝΙΣΜΟΣ ΤΟΥ ΠΕΡΙΟΔΙΚΟΥ ΣΥΓΓΡΑΜΜΑΤΟΣ

ΑΘΗΝΑΣ

1) Ἕκαστος τόμος τοῦ περιοδικοῦ τούτου ἀποτελεῖται ἐκ τεσσάρων τευχῶν, ὧν ἕκαστον ἐξ ὀκτὼ τοὐλάχιστον τυπογραφικῶν φύλλων.

2) Τὰ δημοσιευόμενα ἐν τῷ περιοδικῷ εἶναι πρωτότυποι πραγματεῖαι *φιλολογικαί, ἱστορικαί, ἀρχαιολογικαί, φυσικαὶ καὶ μαθηματικαί*. Εἰς τὰς φιλολογικὰς καὶ ἱστορικὰς πραγματείας ὑπάγεται πᾶσα φιλολογικῶς ἢ ἱστορικῶς διεξαγομένη διατριβή.

3) Ἐν τῷ περιοδικῷ καταχωρίζονται καὶ *βιβλιοκρισίαι*, ἂν περιορίζωνται ἀκριβέστατα ἐν τῷ περὶ οὗ ἡ κρίσις ἐπιστημονικῷ ζητήματι.

4) Πᾶσα *πραγματεία καὶ βιβλιοκρισία* εἶναι ὑπογεγραμμένη ὑπὸ τοῦ συντάξαντος αὐτήν.

5) Ἐπὶ τοῦ παρόντος οὐδεμία χρηματικὴ ἀμοιβὴ χορηγεῖται εἰς τοὺς συγγραφεῖς διατριβῶν, δίδονται δ' αὐτοῖς περὶ τὰ 25 ἀντίτυπα τῶν διατριβῶν αὐτῶν.

6) Αἱ διατριβαὶ ἐλεύθεραι ταχυδρομικῶν τελῶν ἀποστέλλονται *πρὸς τὸν διευθυντὴν τοῦ περιοδικοῦ*.

7) Διὰ τῆς Ἀθηνᾶς ἀγγέλλεται πᾶν βιβλίον, οὗτινος ἀντίτυπον ἤθελε σταλῆ πρὸς *τὸν ταμίαν τῆς ἑταιρείας ἢ τὸν διευθυντὴν* τοῦ περιοδικοῦ.

8) Τὸ περιοδικὸν ἀνταλλάσσεται τῇ ἐγκρίσει τοῦ συμβουλίου πρὸς πᾶν περιοδικὸν ἡμεδαπὸν καὶ ἀλλοδαπόν.

9) Πάντες οἱ ἑταῖροι οἱ καταβαλόντες τὴν ἐνιαύσιον αὐτῶν χορηγίαν λαμβάνουσι τὸ περιοδικὸν δωρεάν.

10) Οἱ μὲν ἐν Ἑλλάδι συνδρομηταὶ τοῦ περιοδικοῦ ἀποτίνουσι δραχμὰς 15, οἱ δ' ἐν τῇ ἀλλοδαπῇ δραχμὰς 18.

11) Τῆς ἐκδόσεως τοῦ περιοδικοῦ ἐπιμελεῖται τριμελὴς ἐπιτροπεία ἐκλεγομένη ὑπὸ τοῦ διοικητικοῦ Συμβουλίου ἐκ τῶν μελῶν αὐτοῦ· εἰς ἓν δὲ τῶν τῆς ἐπιτροπείας μελῶν ἀνατίθεται ἐπίσης ὑπὸ τοῦ Συμβουλίου ἡ διεύθυνσις καὶ διαχείρισις τοῦ περιοδικοῦ.

12) Ὁ διευθυντὴς τοῦ περιοδικοῦ καὶ μόνος οὗτος συνεννοεῖται μετὰ τοῦ τυπογράφου, ὁρίζει τὰς εἰς τὸ περιοδικὸν καταχωριστέας ἢ μὴ καταχωριστέας διατριβὰς καθὼς καὶ τὴν τάξιν καθ' ἣν πρέπει νὰ καταχωρισθῶσιν.

13) Οὐδεμία διατριβὴ (πλὴν μόναι αἱ τοῦ προέδρου τῆς ἑταιρείας καὶ αἱ τῶν ἐπιμελητῶν τοῦ περιοδικοῦ) δημοσιεύεται ἐν αὐτῷ, ἂν μὴ φέρῃ τὴν ὑπογραφὴν τοῦ διευθυντοῦ.

14) Ὁ διευθυντὴς τοῦ περιοδικοῦ ὢν ἅμα καὶ διαχειριστὴς αὐτοῦ φροντίζει περὶ τῆς ἀσφαλοῦς ἀποστολῆς αὐτοῦ πρὸς τοὺς ἑταίρους καὶ περὶ τῆς φυλακῆς τῶν ὑπολοίπων ἀντιτύπων.

15) Μετὰ προηγουμένην ἀπόφασιν τοῦ διοικητικοῦ Συμβουλίου δύνανται νὰ παρέχωνται δωρεὰν τοῖς τακτικοῖς τοῦ περιοδικοῦ συνεργάταις πεντήκοντα ἐν συνόλῳ ἀντίτυπα αὐτοῦ.

Πᾶσα αἴτησις περὶ συνδρομῆς ἢ ἀγορᾶς τοῦ περιοδικοῦ πωλουμένου κατὰ τόμους ἀπευθύνεται πρὸς τὸν ταμίαν τῆς ἑταιρείας κ. Γ. Α. Παππαβασιλείου ἐν ὁδῷ Γερανίου 14, πᾶσα δ' ἄλλη αἴτησις περὶ τυπώσεως διατριβῆς κλπ. πρὸς τὸν διευθυντὴν τοῦ περιοδικοῦ Γ. Ν. Χατζιδάκιν ἐν ὁδῷ Σκουφᾶ 12.

Digitized by Google

ΑΘΗΝΑ

ΣΥΓΓΡΑΜΜΑ ΠΕΡΙΟΔΙΚΟΝ

ΤΗΣ

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΕΤΑΙΡΕΙΑΣ

AS
202
.A84
v.8
no3

ΤΟΜΟΣ ΟΓΔΟΟΣ

ΤΕΥΧΟΣ ΤΡΙΤΟΝ

ΑΘΗΝΗΣΙΝ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ

1896

Digitized by Google

ΠΕΡΙΕΧΟΜΕΝΑ

Ad Dionysii Halicarnasensis antiquitatum Romanorum a Carolo Jacoby editarum volumem III adnotationes criticae, ὑπὸ Σ. Βαση . . . . . Σελ. 241
Ad Dionysii Halicarnasensis antiquitatum Romanorum librum X et XI, ὑπὸ Σ. Βαση . . . . » 262
Πλουτάρχεια, ὑπὸ Σ. Βαση . . . . » 266
Σκοτειναὶ σελίδες τῆς Ἀθηναϊκῆς Ἱστορίας, ὑπὸ Σ. Γ. Παναγιωτοπουλου . . . . » 273
Ἐπιγραφαὶ ἐκ Κωνστάντσης, ὑπὸ Γεωργιου Ι. Κουζου » 345
Παρατηρήσεις εἰς τὰς ἐπιγραφὰς ταύτας ὑπὸ Γ. Ν. Χατζιδακι . . . . » 348
Μηχανικὴ ἰδιότης τῶν ἀρτιοταγῶν κέντρων καμπυλότητος, ὑπὸ Ι. Ν. Χατζιδακι. . . . . » 352
Βιβλιογραφία, ὑπὸ Γ. Ν. Χατζιδακι . . . . . . » 361
Ἡ λέξις γάιδαρος εἶναι ἀποδεδειγμένως Ἀραβική, ὑπὸ Γ. Ν. Χ. . . . . » 348

Digitized by Google

AD DIONYSII HALICARNASENSIS
ANTIQUITATUM ROMANARUM
A CAROLO JACOBY EDITARUM
VOLUMEN III
ADNOTATIONES CRITICAE

Tertium hoc Dionysii antiquitatum a Carolo Jacoby recognitarum volumen cum ceteras virtutes cum superioribus communes habeat, hanc sibi praccipuam vindicat, quod codicis Urbinatis (B) lectiones ex G. Heylbutii nova collatione, summa, ut editor praedicat, cum diligentia et sagacitate facta, continet. Quod munus eo gratiore animo ab editore accipimus, quo magis ex hac collatione apparet codicis huius praestantia. Cuius rei documento, antequam ad propositum venimus, aliquot locos afferre etiam propterea operae pretium visum est, quod non omnibus eis locis codicis B scriptura, quamvis unice vera, ab editore recepta est.

12, 13 (Ζ', VII, 5): πολλὴν κατηγορίαν διαθέμενος τῶν φονευθέντων **ὑπ' αὐτοῦ** πολιτῶν. B **ὑφ' αὐτοῦ**, quod spiritu mutato veram dat scripturam, id est ὑφ' αὑτοῦ.

66, 8 (XLIV, 3): χωρὶς τῶν ἄλλων, ὧν προςετρίβετο τὰς τῆς βουλῆς σπονδὰς λύειν ἀξιῶν Nec cui προςετρίβετο hac scriptura significatur, nec quid sint βουλῆς σπονδαὶ patet. Quanto melius B: χωρὶς τῶν ἄλλων, ὧν προςετρίβετο τῇ βουλῇ σπονδὰς λύειν ἀξιῶν. Cf. illud Thucydideum (I, 53) πολέμου ἄρχοντες καὶ **σπονδὰς λύοντες**.

Digitized by Google

98, 20 (LXIII, 1): οἷον ὑμῖν ἔργον ὕστερον ἔξω τῶν λόγων ὁ γενναῖος οὗτος ἀνὴρ τυγχάνει διαπεπραγμένος. Sic editur B auctore. Sed in A inter ἔξω et τῶν λόγων haec sunt: τοῦτ' ἔστιν ἀπολογίας ἐστερημένον, quod nihil est nisi interpretamentum, idque prorsus perversum, eius quod est ἔξω τῶν λόγων. Quam multa eius modi Byzantinae interpretationis prodigia inter veterum scriptorum verba interiecta nos etiam nunc eludunt!

99, 10 (XLIII, 3): διένειμε καὶ κατεχαρίσατο τοῖς ἑαυτοῦ φίλοις ἅπασαν τὴν λείαν· τοῦτο δὴ τυραννίδος τεκμήριον εἶναι φημὶ τὸ ἔργον· πῶς γὰρ οὔ; ὃς τοὺς ἑαυτοῦ κόλακάς τε καὶ σωματοφύλακας...ἐκ τῶν δημοσίων εὐηργέτει χρημάτων;

Sic ceteri codd. Qua in scriptura merito in illo imperfecto εὐηργέτει offendimus. Expectares enim aoristum vel perfectum. At B εὐεργετεῖ habet, quod cum idem valeat atque εὐηργέτηκε multo tamen hoc efficacius est.

113, 16 (LXXII, 2): unus B ἀποδῦναι τὸ σῶμα, ceteri vitiose ἀποδυθῆναι. Item 307, 23 solus B ἄστεως. Item 310, 5 unus B κατακεκλειμένον. Item 322, 3 solus B παρ' ὀλίγας ψήφους ὦφλε, ceteri ὤφειλε. Item 294, 27 μέχρι ἂν unus B.

Quam multae eiusmodi maculae posterioris maxime aetatis scriptoribus inustae haerent, quas si quis delere ausit, ecce imperitorum caterva exoritur clamitans eum, quidquid illius aetatis proprium sit, *imperitia*, si dis placet, oblitterare! Quid quod vel probis verborum formis in melioribus libris repertis tamen editores barbarismos mordicus tenent? Veluti apud Plutarchum περὶ φιλοπλουτίας c. 7, cum omnes fere codices praebeant κατάξας, ex uno D, turpissime interpolato, editur κατεάξας, quod si Plutarchus usurpasset ne ille indignus esset, cuius scripta manibus nostris tererentur. Eodem modo apud Dionysium (ϛ'. LVIII, 3) cum li-

Digitized by Google

bri omnes προςαπέλαυσε proebeant, editur tamen barbare προςαπήλαυσε.

127, 5 (H', II, 5): εὖ γὰρ ἴσθι, ὡς εἰ τοῦτ' ἀκούσειαν... ἐκβαλοῦσιν ὑμᾶς. Ὡς, quod interposuit qui εὖ ἴσθι pro adverbio poni solere ignoraret, recte abest a B.

129, 17 (IV, 4): ἐδόκει καλλίστῃ κεῖσθαι συνόδῳ ταῖς ἄλλαις ἡ πόλις B, quod leviter corruptum est ex eo quod Dionysius scripserat κάλλιστα κεῖσθαι συνόδου, quod cum Reiskio et Lobeckio reponendum erat, non ceterorum aperte interpolata scriptura ἐν καλλίστῃ κεῖσθαι συνόδῳ recipienda; quam vel hiatus spuriae originis arguit.

162, 4 (XXVI, 6): solus B veram servavit scripturam οἱ μέν γ' οὐδέν, ἐὰν μὴ κατορθώσωσι, βλάπτονται, ceteri omnes haec monstra praebent· ἐὰν οὐδὲν κατορθώσωσι.

173, 20 (XXXIII, 4): ἐγγυητὰς ἔδωκα θεούς, ὡς ἐπ' οὐδενὶ κακῷ τὴν ἄφιξιν ποιησάμενος, καὶ τὴν εἰς τόδε τοῦ χρόνου καθαρὰν καὶ ἀμίαντον συνοῦσάν μοι πίστιν. Sic B optime. Jungenda autem sunt ἐγγυητὰς ἔδωκα θεοὺς καὶ τὴν πίστιν, deos et fidem meam testatus sum. Quod cum non intellegerent aliorum codicum scriptores (velut A et codicis C margo), φυλάξων post ποιησάμενος καὶ inseruerunt. Hoc autem φυλάξων postquam inter scriptoris verba irrepsit, illud ποιησάμενος in ποιησόμενος corrupit (quasi non iam advenisset Coriolanus) sibique accommodavit.

188, 9 (XLIII, 2): εἶξεν ἡ Οὐετουρία καὶ τελέσειν τὴν πρεσβείαν ὑπὲρ τῆς πατρίδος ὑπέσχετο. Sic ex solo B editur; nam ceteri haec praebent: καὶ τέλος ἀπῄει τὴν πρεσβείαν ὑπὲρ τῆς πατρίδος ποιησομένη, ἣν ὑπέσχετο, quae on uno nomine inepta sunt. Tum enim primum Veturia se l filium ituram promisit, nec tamen statim eo abiit, sed ali-

Digitized by Google

quanto post, cum mulieres exeundi venia publice impetrata ad eam secum in Coriolani castra ducendam venissent (Cf. XLIV).

196, 9 (LXVIII, 3): Ῥωμαῖοι μὲν ὅσα μήτε τὸ ἀδύνατον μήτ' ἄλλη τις ἀδοξία **προςοῦσα** κωλύσει, πάντα ὑπομενοῦσι πράττειν. Sic B; ceteri nulla sententia **προςπεσοῦσα**.

235, 18 (LXXI, 6): ἰσχύος τῶν πενήτων ἕνεκα καί, εἴ τις ἀφαιρεῖσθαί ποτε αὐτοὺς ἀξιώσει τὰ δοθέντα, **κωλῦσαι**. Quis non illud κωλῦσαι perversum esse rescribendumque esse κωλύσεως, etiamsi hoc in B non extaret, tamen ratione ipsa duetus intellegeret? Nunc tamen veram lectionem in optimo codice inventam editores aspernantur.

288, 14 (Θ', X, 5) : οἱ μὲν **ἵπποις** χαλινοὺς ἐνέβαλλον, οἱ δὲ ξίφη . . . ἔθηγον. Sic B. Ceteri male οἱ μὲν **ἱππεῖς**.

296, 26 (XIV, 7): οὐκ **ἂν** ἐλπίσαντες . . τοὺς Οὐιεντανοὺς ταχεῖαν οὕτως ἀντεπιχείρησιν . . . ποιήσασθαι. In solo B est **ἄν**.

304, 24 (XVII, 4): εἰ δύναιτο κατορθώσας τὸν ἐκεῖ πόλεμον — ἦν γὰρ ἐν αὐτῷ πολὺ τὸ ἀνδρεῖον — ἀφανίσαι etc. Sic B. A habet κατορθῶσαι.

309,23 (XX, 4): ἀπεώσαντο δ' οὖν καὶ τούτους **ὅμως** B. Ceteri **ὁμόσε**!!!

312, 7 (XXII, 1): ἐκ παρακούσματός δέ τινος πεπλασμένον ὑπὸ τοῦ πλήθους.
Πλήθους B, ceteri **ἀληθοῦς**.

317, 4 (XXV, 1): ὁ πρὸς τοὺς Τυρρηνοὺς πόλεμος χαλεπὸς ὢν **χρυσὸς** ἐφαίνετο παρὰ τὸν ἐντὸς τείχους ἐξεταζό-

Digitized by Google

μενος. Non tam illud bellum quam haec scriptura codicis B χρυσὸς φαίνεται παρὰ τὴν τῶν ἄλλων ἀντιγράφων ἐξεταζομένη, in quibus est χρηστός!! Notissimus est hic quidem vocabuli χρυσὸς usus, sed tamen cf. etiam Plut. Τιμολ. XI: χρυσὸν ἔδειξαν τῇ Σικελίᾳ τὰς ἐν τῇ τυραννίδι συμφοράς.

324, 24 (XXVIII, 2): δειλίας τε καὶ ὄκνου καὶ τοῦ μηδὲν ἔτι καινουργεῖν τοὺς ἡγεμόνας, ὑφ' ὧν ἐλευθερία τ' ἀπόλλυται καὶ ἡγεμονία καταλύεται. Pro eo q. e. **ὑφ' ὧν** omnes codices male **σφῶν**. Sed in B hos intra fines constitit corruptio, in ceteris longius grassata est. Nam ἐλευθερίαν **τε ἀπόλλυσθαι** καὶ ἡγεμονίαν καταλύεσθαι habet A, qua mutatione antiquae scripturae vestigia prorsus oblitterata sunt.

330, 2 (XXXI, 2): πόσα δ' ἄλλα τοῖς ἡγεμόσιν **ἔπεισι** πράττειν B; in A pro eo quod est ἔπεισι legitur interpretamentum ἦλθεν ἐπὶ νοῦν.

350, 17 (XXXIV, 1): **ἐναντία θήσονται** σφίσι τὰ ὅπλα editur B auctore. Ceteri omnes habent **ἐναντιωθήσονται.**

380, 5 (XLIX, 2): ἀξιόχρεως ἦν ὁ ἀπόστολος. Adnotat Jacoby: ὁ *omittit B*. Scilicet optimus codex craseos vestigia nobis servavit (ἀπόστολος).

489,5 (CXIII, 5): διώξας τοὺς καθ' ἑαυτὸν [τεταγμένους]. Participium codicem B secutus iure circumscripsit Jacoby.

LIBER VII.

64, 5 (XLIII, 1): «Ἐμοὶ μὲν γὰρ δοκεῖτε, ὦ βουλή, περὶ μὲν τὰς διαλύσεις γνώμῃ τῇ βελτίστῃ κεχρῆσθαι **οἷς ἀνάγκη εἴκειν** τοῦ βέβαια τηρεῖν τὰ συγκείμενα». Post illud κεχρῆσθαι aliquot verba intercidisse putant editores. Qua coniectura facile carebimus leniore adhibita medicina. Scri-

Digitized by Google

bendum enim: εἰς ἀνάγκην δ' ἥκειν τοῦ β. τηρεῖν τὰ συγκείμενα. Duas affert orator causas, quibus de causis pacis conditiones etiamtum servandae sint; unam quod eae conditiones optimo olim acceptae sint consilio, alteram quod eas nunc servari necesse sit.

74, 15 (L, 1): ἀλλ' ὡς δεδοικόσι καὶ κατεπτηχόσιν ἡμῖν ἔπειτα ἱερὰν καὶ ἄσυλον ἔφη δεῖν ἀποδειχθῆναι τὴν ἀρχὴν κτέ. Hoc quoque loco post illud ἡμῖν lacunam indicavit Jacobius, Rectius, opinor, alii illud ἔπειτα corruptum esse suspicantur. Sed, quae pro illo excogitarunt, minime placent. Mihi vero sic facillime persanari locus videtur, si scripseris ЄΠΙϹΤΑϹ pro eo q. e. ЄΠЄΙΤΑ. Illud ἐπιστῆναι ei quod est κατεπτηχόσιν optime respondere vel quae apud Thucydidem (VIII, 69) leguntur docent: οἱ υ'. μετὰ ξιφιδίου... καὶ οἱ κ'. καὶ ρ'. Ἕλληνες νεανίσκοι, οἷς ἐχρῶντο εἴ τί που δέοι χειρουργεῖν, ἐπέστησαν τοῖς ἀπὸ τοῦ κυάμου βουλευταῖς οὖσιν ἐν τῷ βουλευτηρίῳ καὶ εἶπον αὐτοῖς ἐξιέναι κτέ.

80, 13 (LVII, 2): τί τὸ ἀδίκημά ἐστιν, ἐφ' οὗ μέλλουσί μου κατηγορεῖν.

Recte Sylburgium reposaisse ἐφ' ᾧ vel ea quae proximi capitis initio leguntur «ἐπὶ τοῖς λόγοις . . . τὴν δίκην ὑφέξειν» demonstrant. Cf. ib. paullo infra: ἐπὶ ταύτῃ γε κριθήσομαι τῇ διαβολῇ.

91, 11 (LVIII, 2): «τότε πρῶτον ἐγένετο Ρωμαίοις ἐκκλησία κατ' ἀνδρὸς ψηφοφόρος ἡ φυλετική, πολλὰ [δὲ recte delet Jacoby] ἐναντιουμένων τῶν πατρικίων καὶ τὴν λοχῖτιν ἀξιούντων συνάγειν ἐκκλησίαν, ὥςπερ αὐτοῖς πάτριον ἦν».

Ex ipsis verbis scriptoris liquido apparet illud novum, cui patricii resistebant, nihil aliud fuisse nisi quod de capite civis R. comitiis tributis laturi erant adversarii, cum antea

Digitized by Google

centuriatis de eiusmodi re actum esset. Nam de civis Romani capite populum indicare posse quis nisi Romanarum legum prorsus ignarus negaret? Qua re illud ἡ φυλετικὴ cur deleatur nulla est ratio.

92, 9 ἑ (LIX, 4): «τοῦτο δὲ τὸ πλῆθος εἰς εἴκοσι λόχους συντεταγμένον ἦν· προςέκειντο θ' αὐτοῖς δύο **ἶλαι** τεκτόνων καὶ χαλκοτύπων eqs».

Ἶλαι scripsit Jacobius pro eo quod in codd. inepte legitur φυλαί. Sed **turmae fabrum** non magis aptum est quam **tribus**. Alii reponunt λόχοι ad sententiam recte; sed quaeritur cur illud λόχοι in hoc φυλαὶ mutatum esse videatur. Rectius, opinor, illud φυλαὶ exulare iubebimus nec pro eo quidquam reponemus, cum ex eis quae antecedunt facile illud λόχοι cogitatione adsumatur. Φυλαὶ a malo interprete adscriptum cum esset ab inepto librario postea in scriptoris verba admissum est, ut saepe cum in aliis veterum scriptis tum etiam in hoc factum est. Cuius rei exempla ex tribus primis libris satis multa in Spicilegio critico attuli, quod τῇ Πεντηκονταετηρίδι τοῦ 'Εθνικοῦ Πανεπιστημίου insertum est; hoc loco ex eis, quae ex VII, VIII, IX libro collecta habeo, quot satis sint, commemorabuntur. 37, 7: γνώτωσαν ὅτι οὐκ ἄρχοντες . . . . . ἀλλὰ τοὺς ἀνῃρηκότας τιμωρούμενοι [αὐτὸ δρῶσιν] ἀναίτιοί τε πρὸς τοὺς Θεοὺς ἔσονται καὶ . . . τὰ δίκαια πράξουσι. Illud αὐτὸ δρῶσι prorsus ineptum est. Neque enim quid sit illud αὐτὸ apertum est, neque δρῶσι de re ne decreta quidem nedum incepta apte ponitur. Recte igitur Kayserum secutus Jacoby ea verba delevit quippe quae ab eo invecta essent qui non videret **τε** perticulam ad ea quae secuntur (καὶ . . . πράξουσ) non ad superiora referri. — 53, 26: Λ. 'Ιούνιος Βροῦτος ἐκεῖνος [ὁ δημαγωγὸς] ὁ τεχνησάμενος etc. Illa ὁ τεχνησάμενος eqs. satis demonstrant quis ille Brutns fuerit, neque illo ὁ δημαγωγὸς addito opus est. — 56, 2: πείθειν τοὺς προεστηκότας αὐτῶν (tribunos)... παύσασθαι καὶ μὴ παράγειν, εἰ δὲ μὴ [πείθοιεν]

Digitized by Google

Ἀντὶ τοῦ «*ξυνῄδεσαν*» ὁ μὲν Krüg. ἤκασεν: «ξυνῄνεσαν», ὁ δὲ Meink. «ξυνήνυσαν», ὁ δὲ Bh. ὀρθῶς παρατηρεῖ, γράφων: «adeo languet ut pro corrupto habendum sit, sed de propositis coni (ecturis) *nulla placet*».

Καθ' ἡμᾶς δὲ ἀναγνωστέον ἀντὶ τοῦ «*ξυνῄδεσαν*» τό: ⟨*ξυνῄεσαν δ' ἐς*⟩ τὸν τειχισμόν».

Τὸ δὲ ὅλον χωρίον γραπτέον ὡς ἑξῆς:

«Καὶ οἱ μὲν Ἀργεῖοι πανδημεὶ καὶ αὐτοὶ καὶ γυναῖκες καὶ οἰκέται ἐτείχιζον· ξυνῄεσαν δ' ἐς τὸν τειχισμὸν καὶ τῶν ἐν Πελοποννήσῳ τινὲς πόλεων».

κεφ. 90, 1.

«Ἧι μὲν δὴ νομίζομέν γε, χρήσιμον».

Ἀναγνωστέον καθ' ἡμᾶς ὡς ἑξῆς:

«Ἡμεῖς [μὲν] δὴ νομίζομέν γε χρήσιμον (εἶναι)».

κεφ. 103, 4.

«αὐτὴν γνωρισθεῖσαν».

Μὴ γραπτέον: ⟨*γνωσθεῖσαν*⟩ ἀντὶ τοῦ *γνωρισθεῖσαν*;

Βιβλ. Ζ', κεφ. 35, 1 κέξ.

«τῶν δὲ Συρακοσίων ὁ δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι ἦσαν, οἱ μὲν ὡς οὐδενὶ ἂν τρόπῳ ἔλθοιεν οἱ Ἀθηναῖοι οὐδ' ἀληθῆ ἐστιν ἃ λέγει, τοῖς δέ, εἰ καὶ ἔλθοιεν, τί ἂν δράσειαν αὐτοὺς ὅ τι οὐκ ἂν μεῖζον ἀντιπάθοιεν; ἄλλοι δὲ...

Ἀντὶ τῶν: «οὐδ' ἀληθῆ ἐστιν ἃ λέγει, τοῖς δὲ» ὁ Cl., ἀποδεξάμενος, ὡς ἤκασεν ὁ Madvig., ἔγραψεν ὡς ἑξῆς: «οὐδ' ἀληθῆ ἐστιν

Digitized by Google

ἃ λέγεται, οἱ δὲ . .». Εἰ ἀνάγκη μεταβολῆς τινος τοῦ χωρίου, ἡμεῖς ἠθέλομεν ἀντ' αὐτῶν προτείνει μᾶλλον ταῦτα: «⟨*οἱ δ' ὡς*⟩ ἀληθῆ ἐστιν ἃ λέγει, ⟨*εἰ δὲ*⟩ καὶ ἔλθοιεν, τί ἂν δράσειαν» κἑξ.

«Οἱ ἐν πολλῇ δηλαδὴ πρὸς ἀλλήλους ἔριδι ὄντες τῶν Συρακοσίων οἱ μὲν ἔλεγον, ὡς οὐδενὶ ἂν τρόπῳ ἔλθοιεν οἱ Ἀθηναῖοι, οἱ δέ, ὡς ἀληθῆ (μέν) ἐστιν ἃ λέγει (Ἑρμοκράτης), εἰ δὲ καὶ ἔλθοιεν, τί ἂν δράσειαν αὐτοὺς ὅ τι οὐκ ἂν μεῖζον ἀντιπάθοιεν; ἄλλοι δὲ καὶ πάνυ καταφρονοῦντες ἐς γέλωτα ἔτρεπον τὸ πρᾶγμα· τὸ δὲ πιστεῦον τῷ Ἑρμοκράτει καὶ φοβούμενον τὸ μέλλον ὀλίγον ἦν».

κεφ. 37, 14.

«καὶ ὅμορον οἰκήσαντες τὸν πόλεμον ποιοῖντο».

Γραπτέον ἀντὶ τοῦ «ὅμορον οἰκήσαντες» «⟨*ὅμοροι*⟩ οἰκήσαντες». Πρβλ. Θουκ. Β', 99, 14. Ζ', 2, 14.

κεφ. 49, 18 κἑξ.

«ναύσταθμον δὲ ἐπαναχωρήσαντας καὶ ἐφορμηθέντας Μέγαρα ἔφη χρῆναι ποιεῖσθαι».

Ὁ Pp. κατ' εἰκασίαν τοῦ Schaef. ἀντὶ τοῦ «ἐφορμηθέντας», ὅπερ κοινῶς ἐν ἅπασι τοῖς κώδιξι φέρεται, ἔγραψεν «*ἐφορμισθέντας*», οὑτωσὶ ἐξηγούμενος: «in portum ingressos» ἢ: quum ad portum appulsi essent»· ὁ δὲ Bh. ἀντὶ τούτου ἤκασεν «*ἐφόρμησιν τά*»· ὁ δὲ Krüg. τηρεῖ μὲν τὴν φερομένην γραφήν, ἀλλ' ἡ ὑπ' αὐτοῦ διδομένη ἐξήγησις ἀναπόδεικτος καὶ ἑπομένως ἀπαράδεκτος εἶναι, καθὼς παρετήρησεν ἤδη καὶ ὁ Classen ἐν ταῖς κριτικαῖς παρατηρήσεσιν, ἔνθα μακρὸν περὶ τῆς εἰρημένης γραφῆς λόγον ποιεῖται. Αὐτὸς δὲ παρεδέξατο τὴν εἰκασίαν τοῦ Bh. καὶ ἔγραψεν: «ἐπαναχωρήσαντας καὶ *ἐφόρμησιν τὰ* Μέγαρα ἔφη χρῆναι ποιεῖσθαι». Ἀλλὰ καὶ ἡ ὑπὸ τοῦ Pp. καὶ ἄλλων ἀποδεκτὴ γενομένη γραφὴ «*ἐφορμισθέντας*» εἶναι αὐθαίρετος, ὁ δὲ παθητικὸς ἀόριστος (*ἐφορμισθεὶς*) οὐδαμοῦ παρὰ Θουκυδίδῃ ἀπαντᾷ καὶ μάλιστα καθὼς οἱ τὴν γραφήν: «*ἐφορμισθέντας*» παραδεξάμενοι θέλουσιν ἐν ἐνεργητικῇ σημασίᾳ, ἀλλ ἅπαξ μόνον, ὡς καὶ ἀλλαχοῦ ἐν τοῖς ἡγουμένοις παρετηρήσαμεν, ἐ

Digitized by Google

μέσος ἀόριστος «*ἐφορμίσασθαι*» (Θουκ. Δ', 8), δὶς δὲ κατ' ἐνεστῶτα ἐν παθητικῇ σημασίᾳ (Α', 142, 19. Θ. 20, 3). Καὶ τὰ ὑπὸ τοῦ Stahl πρὸς ἐξήγησιν τοῦ «*ἐφορμηθέντας*» λεγόμενα δὲν ἀποδεχόμεθα διὰ τὸν αὐτόν, ὃν καὶ ὁ Cl. λέγει λόγον, ὃν περιττὸν ἐνταῦθα νὰ ἐπαναλάβωμεν.

Πολὺ δὲ διστάζοντες καὶ τὴν ὑπὸ τοῦ Bh. προταθεῖσαν γραφὴν «*ἐφόρμησιν τὰ*» νὰ παραδεχθῶμεν, ἡμεῖς ὑπολαμβάνομεν μᾶλλον, ὅτι ἀντὶ τοῦ: «*ἐφορμηθέντας*» πρέπει νὰ γραφῇ τό: «⟨*ἀφορμηθέντας*⟩». Πρβλ. Θουκ. Η', 74, 7. 75, 21, 43. Θ', 10, 4 «παρεσκευάζοντο εὐθὺς ὅπως μὴ λήσουσιν αὐτοὺς αἱ νῆες ἐκ τῶν Κεγχρειῶν *ἀφορμηθεῖσαι*. Καὶ ἐν τοῖς Ἑλληνικοῖς δὲ τοῦ Ξενοφῶντος (1, 6, 21), ἔνθα ἐφέρετο τὸ ῥῆμα «*ἐφορμᾶν*», ὀρθῶς ὑπὸ τοῦ Dind. εἰς τὸ «*ἀφορμᾶν*» διωρθώθη οὕτως: «ἐκβάντες δὲ ἐδίωκον τὴν εἰς τὸ πέλαγος *ἀφορμήσασαν*» (ἀντὶ τοῦ πρότερον: «*ἐφορμήσασαν*»).

Κατὰ ταῦτα ἡ ἐξήγησις τοῦ περὶ οὗ ὁ λόγος ἐνταῦθα χωρίου εἶναι ἡ ἑξῆς:

Ἐπαναχωρήσαντες δὲ καὶ ἀποπλεύσαντες (ἀφορμηθέντες) ἐκ Συρακουσῶν ἔλεγεν (ὁ Λάμαχος) ναύσταθμον ὅτι πρέπει νὰ ποιῶνται τὰ Μέγαρα, ἃ ἦν ἔρημα, ἀπέχοντα Συρακουσῶν οὔτε πλοῦν πολὺν οὔτε ὁδόν.

Καὶ διὰ μὲν τοῦ «*ἐπαναχωρῆσαι*» ἠθέλησε καθ' ἡμᾶς ὁ ἱστορικὸς νὰ δηλώσῃ τὴν κατὰ γῆν ἐκ Συρακουσῶν εἰς Μέγαρα (τὰ Ὑβλαῖα) μετάβασιν τῆς πεζῆς στρατιᾶς, διὰ δὲ τοῦ «*ἀφορμηθῆναι*» τὴν κατὰ θάλασσαν τῆς ναυτικῆς στρατιᾶς.

ΔΙΟΡΘΩΤΕΑ

Σελ.	380	στίχ.	9	ἀναγν.	ὅ τε	ἀντὶ	ὅτε
»	»	»	10	»	ὅ τε	»	ὅ τι
»	»	»	11	»	τι	»	τε
»	404	»	6-7	»	μηδὲ	»	μηδέν'.

Ἔγραφον ἐν Ἀθήναις τῇ 26 Μαΐου 1896.

Ι. ΑΡΓΥΡΙΑΔΗΣ

Digitized by Google

ΖΗΤΗΜΑΤΑ ΡΩΜΑΪΚΑ

ΙΗ'.

(Plebiscitum Atinium).

Ο παλαιός νομικός 'Ατήιος Καπίτων παρὰ Γελλίῳ (XIV, 8, 2) ἀντιλέγων πρὸς 'Ιούνιον τὸν Γρακχανὸν ἰσχυριζόμενον ὅτι ὁ praefectus urbi Latinarum causa δὲν δύναται νὰ χρηματίσῃ τῇ συγκλήτῳ, quoniam ne senator quidem sit neque ius habeat sententiae dicendae, παρατηρεῖ ὅτι ὁ λόγος οὗτος δὲν εἶναι ὀρθός: nam tribunis plebis senatus habendi ius erat quamquam senatores non essent ante Atinium plebiscitum.

'Επειδὴ τὸ plebiscitum τοῦτο οὐδαμόθεν ἄλλοθεν εἶναι ἡμῖν γνωστόν, ἡ τοῦ Καπίτωνος μαρτυρία εἶναι ἅμα μὲν πλείστου ἡμῖν λόγου ἀξία, ἅμα δὲ καὶ πολλαπλῆς ἑρμηνείας δεκτική. Διὰ τοῦτο καὶ τρεῖς περὶ τοῦ περιεχομένου τοῦ ψηφίσματος τούτου ἐξηνέχθησαν γνῶμαι, ὧν αἱ μὲν δύο πρῶται ἀντέχονται τοῦ γράμματος αὐτοῦ τῆς τοῦ Καπίτωνος ῥήσεως, ἡ δὲ τρίτη λίαν ἐλευθέρως παραφράζει αὐτήν. Καὶ δὴ κατὰ μὲν τὴν πρώτην τῶν εἰρημένων ἐκδοχῶν τὸ Atinium pscitum ἐκέλευεν ὅπως οἱ τὴν δημαρχίαν παραλαμβάνοντες συμπαραλαμβάνωσιν αὐτῷ τῷ δικαίῳ καὶ ἄνευ τιμητικῆς ἐκλογῆς τὸ τοῦ συγκλητικοῦ ἀξίωμα, κατὰ δὲ τὴν δευτέραν τἀνάπαλιν τὸ εἰρημένον ψήφισμα διέταττεν, ὅπως μόνοι οἱ συγκλητικοὶ καθιστῶνται δήμαρχοι· τέλος κατὰ τὴν τρίτην τὸ 'Ατίνιον ψήφισμα παρεῖχε τοῖς δημαρχήσασι καὶ μὴ οὖσι συγκλητικοῖς τὸ ius sententiae in senatu dicendae, ὅπερ τέως μόνοι οἱ τὰς ἐπιδιφρίους λεγομένας ἀρχὰς ἄρξαντες ἐκέκτηντο.

Τῶν ἐκδοχῶν τούτων ἡ τρίτη, καίπερ ὑπ' ἀνδρὸς μέγιστον ἐν τοῖς τοιούτοις ζητήμασιν ἀξίωμα ἔχοντος (1) ἐγκριθεῖσα, φαίνεται ἡμῖ ὅλως ἀπαράδεκτος διὰ τούςδε τοὺς λόγους·

(1) Mommsen Str. III, 862 t. 1.

Digitized by Google

1ον Διότι ταύτης έγκριθείσης ανάγκη να γίνη δεκτόν ότι είτε υπό του Γελλίου είτε και υπ' αυτού του Καπίτωνος ελέχθησαν ακύρως *senatores* οι έχοντες απλώς τό ius sententiae in senatu dicendae, καίτοι αμφότεροι οι ειρημένοι συγγραφείς είχον πρό οφθαλμών τα του Γραχχανού σαφώς διακρίνοντος τους senatores και τους απλώς sententiam in senatu dicentes.

2ον Διότι, άν διά του 'Ατινίου νόμου οι δημαρχήσαντες ελάμβανον τό ius sententiae dicendae, τότε ουδένα λόγον είχεν ο Καπίτων, ειπών quamquam (tribuni) senatores non essent, να περιορίση χρονικώς τόν λόγον αυτού επιφέρων *ante pscitum Atinium*, διότι και post plebiscitum Atinium οι δήμαρχοι **δέν** είχον τό ius sententiae dicendae, διότι τό δίκαιον τούτο εί ποτε ήτο δεδομένον, θά ήτο δεδομένον ουχί τοίς *δημαρχούσιν*, αλλά τοίς **δημαρχήσασι.** Διότι οι άρχοντες και άν τέως είχον τό ius sententiae in senatu dicendae, εν αυτή όμως τη αρχή ήσαν εστερημένοι αυτού. Πολλώ άρα μάλλον ηδυνάτουν να έχωσι τούτο εν τη αρχή οι μηδέ πρό της αρχής έχοντες αυτό, οίοι ήσαν οι δήμαρχοι.

Κατά ταύτα, επειδή παρά τάς προειρημένας τρείς εκδοχάς άλλη τις δέν είναι δυνατή, αποδειχθείσης της τρίτης τούτων απαραδέκτου υπολείπεται να εξετασθή ποτέρα των δύο άλλων προκριτέα.

'Αλλά πρό της λύσεως του ζητήματος τούτου ανάγκη να ορισθή ο χρόνος του 'Ατινίου ψηφίσματος.

Είναι ήδη ομολογούμενον ότι τό ψήφισμα τούτο δέν είναι παλαιότερον της του Γαΐου Γράκχου δυναστείας. Διότι ο ουχί πρό ταύτης κυρωθείς 'Ακίλιος νόμος διακρίνει τους δημάρχους των εν τη Συγκλήτω όντων, κατ' αμφοτέρας δέ τάς υπολειπομένας δυνατάς εκδοχάς του 'Ατινίου νόμου οι δήμαρχοι ήσαν από τούτου του νόμου συγκλητικοί. 'Αλλ' ουδέ νεώτερος της του Σύλλα δυναστείας δύναται να είναι ο 'Ατίνιος νόμος. Διότι από της του Σύλλα νομοθεσίας οι ταμίαι άπαντες 20 τόν αριθμόν όντες ήσαν συγκλητικοί. Τότε λοιπόν πάντες οι τα πολιτικά πράττειν προῃρημένοι πρίν δημαρχήσωσι πάνως εταμίευον, επειδή και ευκολώτερον ήτο να αιρεθή τις είς τους 20 ιμίας ή είς τους 10 δημάρχους και διά της ταμιείας εισήρχετό τις ὐτῷ τῷ δικαίῳ είς την Σύγκλητον. Ώστε περιττός ήτο ήδη νόμος ίτε τους δημάρχους είς την Σύγκλητον εισάγων είτε εκ των συγκλη-

Digitized by Google

τικῶν τοὺς δημάρχους λαμβάνων, ἀφ' οὗ οἱ δήμαρχοι ἦσαν ἤδη κατὰ κανόνα ἅπαντες τεταμιευκότες τ. ἔ. συγκλητικοί.

Κατὰ ταῦτα ὁ Ἀτίνιος νόμος ἐκυρώθη πάντως ἐν τῷ μεταξὺ τῆς τοῦ Γ. Γράκχου καὶ τῆς τοῦ Σύλλα δυναστείας χρόνῳ.

Ἐν τοιούτῳ δὲ χρόνῳ κυρωθὲν τὸ Plebiscitum Atinium δὲν ἦτο δυνατὸν νὰ κελεύῃ *ὅπως οἱ δήμαρχοι λαμβάνωνται ἐκ τῶν συγκλητικῶν*, ἥπερ εἶναι ἡ δευτέρα τῶν προειρημένων ἐκδοχῶν. Διότι ἐν τῷ χρόνῳ τούτῳ οὔτε δήμαρχός τις νὰ εἰςενέγκῃ οὔτε ἡ πληθὺς νὰ κυρώσῃ ἠδύνατο νόμον, δι' οὗ καὶ τὴν δημαρχίαν πρὸς τοῖς ἄλλοις ἀξιώμασι θὰ κατελάμβανον οἱ εἰς τὴν τῶν συγκλητικῶν τάξιν ἀνήκοντες, ἥπερ τάξις ἦτο τότε εἴπερ καὶ ἄλλοτέ ποτε ἀπεχθεστάτη τοῖς πολλοῖς τῶν πολιτῶν. Τοὐναντίον τί πιθανώτερον ἢ ὅτι οἱ τότε δημαγωγοῦντες ἀδυνατοῦντες νὰ ὑπερβῶσι τὴν τάφρον, δι' ἧς ἡ ἀριστοκρατία ἀπέκλειε τῆς εἰς τὴν Σύγκλητον εἰςόδου τοὺς μὴ εἰς ἕνα τινὰ τῶν γνωρίμων οἴκων ἀνήκοντας, ἐγεφύρωσαν αὐτὴν διὰ τῆς δημαρχίας, καταστήσαντες τοὺς δημάρχους αὐτῷ τῷ δικαίῳ συγκλητικούς; Ἡ πρώτη ἄρα τῶν μνημονευθεισῶν ἐκδοχῶν εἶναι ἡ ὀρθοτάτη.

Πρὸς τὴν ἐκδοχὴν ταύτην τοῦ Ἀτινίου ψηφίσματος συμφωνοῦσι μὲν τὰ τοῦ Δίωνος (παρὰ Ζωναρᾷ Ζ' 15) λέγοντος *εἰςέπειτα καὶ* **μετέλαβον βουλείας** *οἱ δημαρχήσαντες*, ἅπερ κατὰ τὴν εὔστοχον τοῦ Mommsen παρατήρησιν εἰς τὸ Ἀτίνιον ψήφισμα ἀναφέρονται, δὲν ἀντίκεινται δὲ τὰ τοῦ Ἀππιανοῦ, ἅπερ ὁ Hofmann(1) πρὸς κύρωσιν τῆς δευτέρας τῶν προειρημένων ἐκδοχῶν παρατίθεται (Ἀππ. Ἐμφ. Α, 100: *καὶ οὐκ ἔχω σαφῶς εἰπεῖν εἰ Σύλλας αὐτὴν* (=τὴν δημαρχίαν), *καθ' ἃ νῦν ἐστὶν* **εἰς τὴν βουλὴν ἀπὸ τοῦ δήμου μετήγαγε**). Διότι τὰ ἐν τῷ χωρίῳ τούτῳ παραβαλλόμενα πρὸς τὰ τοῦ Τακίτου (Ann. I, 15: tum primum e campo comitia **ad patres translata sunt**) δεικνύουσιν ὅτι ὁ Ἀππιανὸς οὐχὶ περὶ τοῦ Ἀτινίου ψηφίσματος, ἀλλὰ περὶ τῶν **δημαρχικῶν ἀρχαιρεσιῶν** ποιεῖται ἐνταῦθα λόγον, ἅπερ ἐν τοῖς τούτου χρόνοις ἐγίνοντο, ὥςπερ καὶ τὰ ἄλλα ἀρχαιρέσια ἐν τῇ Συγκλήτῳ(2).

(1) Der Römische Senat etc. 145 ἑ.

(2) Plin. Epist. II, 9, 2: meo suffragio pervenit ad ius tribunatum petendi, quem nisi obtinet **in senatu** vereor ne decepisse Caesarem videat. Ἴδε Mommsen RStr. III, 1223 σ: 3).

Τέλος παρατηρητέον ὅτι τὸ τοῦ Ἀππιανοῦ (Ἐμφ. A, 28) «*τιμητὴς δὲ Κόιντος Καικίλιος Μέτελλος* (=100 π.Χ.) *Γλαυκίαν τε* **βουλεύοντα** *καὶ Ἀπουλήιον Σατορνῖνον* **δεδημαρχηκότα** *ἤδη τῆς ἀξιώσεως παρέλυε*» δὲν ἐμφαίνει **ἀναγκαίως** ὅτι τῷ 100 π. Χ. οἱ δεδημαρχηκότες **οὔπω ἐβούλευον**, ἀλλὰ μᾶλλον ὅτι κατὰ τὴν ὑπόληψιν τοῦ Ἀππιανοῦ, τὰ κατὰ τοὺς ἑαυτοῦ χρόνους ἔχοντος πρὸ ὀφθαλμῶν, οἱ **δεδημαρχηκότες συγκλητικοὶ** ἰδίαν ἐν τῇ Συγκλήτῳ ἐπεῖχον τάξιν, ὑπερτέραν τῆς τῶν **ἁπλῶς βουλευόντων**, διὸ καὶ διακρίνεται τὸ **δεδημαρχηκέναι** τ. ἔ. **δεδημαρχηκότα βουλεύειν** τοῦ **βουλεύειν**. Περιττὸν δὲ νὰ προστεθῇ ὅτι οὐδεμία ἀνάγκη νὰ ὑποληφθῇ ὅτι ὄντως οὕτως εἶχον τὰ πράγματα τῷ 100 π. Χ. εἰς ὃν χρόνον ἀναφέρει ὁ Ἀππιανὸς τὰ ἐπὶ τῶν ἑαυτοῦ χρόνων καθεστῶτα.

Σπ. Βασης

ΚΙΚΕΡΩΝΕΙΑ

Α'.

Τῶν χωρίων, ἅπερ ὁ Draeger ἐν τῇ ἱστορικῇ συντάξει τῆς Λατινικῆς γλώσσης (II² σ. 399) καταλέγει, ἵνα δείξῃ ὅτι τὸ ἐπιφώνημα o εὕρηται παρὰ Κικέρωνι καὶ ὀνομαστικῇ συντεταγμένον, τὰ μὲν ἄλλα οὐδὲν ἀποδεικνύουσι, διότι ἡ πτῶσις, ἣν ὁ Draeger ἐκλαμβάνει ὀνομαστικήν, δύναται νὰ θεωρηθῇ κλητική, ἓν δὲ μόνον, ἂν εἶχεν ὀρθῶς, θὰ ἀπεδείκνυε τὴν γνώμην τοῦ Draeger τόδε·

Cic. Phil. XIV, c. 12 (§ 31): O fortunata mors quae naturae debita pro patria est potissimum reddita.

Ἀλλὰ τὸ χωρίον τοῦτο δὲν φαίνεται ἡμῖν ὀρθῶς παραδεδομένον. Διότι πρῶτον ἄν τις τὸν θάνατον ὑπομένῃ *pro patria* δὲν ἀποδίδοται οὗτος **τῇ φύσει**, ἥτις δὲν ἀπαιτεῖ αὐτὸν ἀκόμη, ἀλλὰ τῇ πα-

τρίδι, καθ' ἃ αὐτὸς ὁ Κικέρων ἀλλαχοῦ λέγει (Phil. X § 20: non est viri minimeque Romani dubitare eum spiritum, *quem naturae debeat*, **patriae** *reddere*). Ἔπειτα, ὡς ὀρθῶς παρετήρησεν ὁ Orelli, ἡ ὁριστ. *est* δὲν ἐγχωρεῖ, διότι ἡ ἀναφορικὴ πρότασις αἰτιολογεῖ τὴν ἐπιφώνησιν, αἱ τοιαῦται δ' αἰτιολογίαι ἐκφέρονται ἀεὶ καθ' ὑποτακτικὴν (Cic. Arch. 24: O fortunate, inquit, adulescens, qui tuae virtutis Homerum praeconem **inveneris** — in Pis. 58: O stultos Camillos etc. qui **triumpharint**. — Tusc. IV, 69: O praeclaram emendatricem vitae poeticam, quae amorem flagitii et levitatis auctorem in concilio deorum collocandum **putet**. — Αὐτ. V, 104: Constantem hominem et gravem, qui glorietur a gloria se afuisse). Ὅπερ δ' αὐτὸς ὁ Orelli ἀντιτάσσει τῷ κανόνι χωρίον ἐκ τοῦ αὐτοῦ λόγου (§ 28): O solem ipsum beatissimum, qui . . . fugientem vidit Antonium οὐδὲν σημαίνει, διότι ἐνταῦθα ἡ ἀναφορ. πρότασις δὲν εἶναι αἰτιολογική, ἀλλὰ διοριστικὴ τοῦ solem (illum solem, qui) ἀντὶ τοῦ diem λαμβανομένου. Διὰ τὸν αὐτὸν λόγον κεῖται ὁριστικὴ (μέλλοντος) ἐν Cat. m. 84: O praeclarum diem cum (= eum diem, quo) in divinum animorum concilium coetumque proficiscar!

Κατὰ ταῦτα τὸ χωρίον νοσεῖ, ἡ δὲ θεραπεία αὐτοῦ εἶνε δυνατή, ἐὰν μεταγράψωμεν:

O fortunata mors, qua naturae debita **vita** patriae **sit** reddita.

Τὰ αἴτια τῆς φθορᾶς εἶναι φανερά. Τὸ μὲν de*bitavita* ἐγένετο εὐκόλως de*bita*, οὕτω δὲ ἐκπεσούσης τῆς ὀνομαστικῆς vita, τὸ qua μεταβληθὲν εἰς ὀνομαστικὴν ἐγένετο quae. Τὸ δὲ patria*esit* reddita ἐγένετο patria *est* reddita, οὗ γενομένου, ἐπειδὴ τὸ est reddita εἶχεν ὑποκ. τὸ *quae*, ὑπελήφθη ὅτι τὸ patria εἶναι ἀφαιρ. καὶ ὅτι πρὸ ταύτης ἐξέπεσεν ἡ πρόθεσις pro, ἥτις καὶ ἀνεπληρώθη.

Β΄.

Καὶ ἕτερον Κικερώνειον χωρίον, ὅπερ ὁ μὲν Draeger δὲν μνημονεύει, ἀλλ' ὅμως, ὡς νῦν φέρεται, φαίνεται ὅτι συνηγορεῖ τῇ προειρημένῃ περὶ τῆς τοῦ *o* συντάξεως γνώμῃ τοῦ ἀνδρὸς τούτου, ἀνάγκη

Digitized by Google

πᾶσα νὰ διορθωθῇ. Τὸ χωρίον ἔχει ὧδε: Phil. X § 37: O conservandus civis cum tam pio iustoque foedere. Ἐνταῦθα προκειμένου περὶ τῆς τοῦ Ἀντωνίου καὶ τοῦ Δολοβέλλου συμφωνίας (ita sibi convenisse cum Dolabella), δὲν ἔδει νὰ λεχθῇ περὶ μόνου τοῦ Ἀντωνίου (εἰρωνικῶς) ὅτι εἶναι conservandus, ἀλλὰ περὶ ἀμφοτέρων τῶν συμφωνησάντων. Τοῦτο δὲ τὸ νόημα ἀποκαθίσταται εὐκόλως, ἐὰν γραφῇ O conservandos civis κτλ. Τὸ χωρίον διεφθάρη ὑπὸ τῶν ἀγνοούντων ὅτι τὸ *civis* εἶναι αἰτιατική, ὑπολαμβανόντων δ' αὐτὸ ὀνομαστικήν, καὶ πρὸς τὴν πτῶσιν ταύτην μεθαρμοσάντων καὶ τὸ conservandos.

Γ'.

Ἐν Κικέρωνος Βρούτῳ § 112 κεῖται: ad senatoriam vero sententiam, cuius erat ille princeps, vel maxime (ὑπακ. dicendi genus aptum videbatur).

Εἰς τὸ *cuius* οἱ ἑρμηνευταὶ ἐν χορῷ ὑποσημειοῦνται «τ. ἔ. senatus», ὅπερ παραλαμβάνουσι κατά τινα σύνεσιν ἐκ τοῦ *senatoriam*. Ἀλλ' οὐδεμία ἀνάγκη οὕτω τραχείας ἐκδοχῆς, διότι τὸ cuius δύναται κάλλιστα νὰ ἀναφέρηται εἰς τὸ sententiam. Ὅτι δὲ δύναται νὰ λεχθῇ princeps sententiae ἀντὶ τοῦ primus sententiam dicens (πρβλ. Cael. apud Cic. Fam. VIII, 4, 4) δηλοῦσι πλεῖστα παραδείγματα, οἷον:

Cic. Har. resp. § 13: te, consule designato, Lentule, *sententiae principe*.

Liv. VIII, 20, 8: principes sententiarum consulares.

Αὐτ. XXVI, 32: principe eius sententiae T. Manlio Torquato.

Ἐντεῦθεν λέγεται καὶ principatus sententiae παρὰ Κικέρωνι ἐν Cat. M. § 64.

Ὅτι δὲ ἐν τοῖς χρόνοις, εἰς οὓς τὸ περὶ οὗ νῦν ὁ λόγος χωρίον ἀναφέρεται, ὁ princeps senatus ἦτο ἅμα καὶ princeps senatoriae sententiae, μαρτυρεῖ ὁ Οὐάρρων παρὰ Γελλίῳ XIV, 7, 9: antea primum rogari solitum, qui princeps in senatum lectus esset, tum autem, cum haec scriberet, novum morem institutum refert κλ.

Digitized by Google

Δ'.

de imper. Pompei § 2: Nunc, cum *auctoritatis* in me tantum sit, quantum vos honoribus mandandis esse voluistis, et ad **agendum** *facultatis* tantum quantum ... cotidiana dicendi exercitatio potuit afferre, certe κτέ.

Τὸ *ad agendum* ἐνταῦθα προφανῶς λαμβάνεται ἀντὶ τοῦ ad dicendum καὶ οὐχὶ ἐν τῇ κυρίᾳ σημασίᾳ τῇ τοῦ *χρηματίζειν τῷ δήμῳ*, Διότι,, ἂν ἐν τῇ κυρίᾳ σημασίᾳ ἐλαμβάνετο, δὲν θὰ ἀντετίθετο ἡ ad agendum facultas πρὸς τὴν auctoritatem, ἥτις ἀκριβῶς ἀπαιτεῖται ad agendum cum populo. Ἀλλὰ μικρὸν ἀνωτέρω τ. ἔ. § 1 αὐτὸ τοῦτο τὸ *ad agendum* ἐτέθη **ἐν τῇ κυρίᾳ σημασίᾳ** ἀντιτιθέμενον τῷ *ad dicendum* (: hic locus *ad agendum* amplissimus, *ad dicendum* ornatissimus). Ὥςτε ἐκεῖ μὲν τὸ ad agendum **ἴσον** τῷ ad dicendum, μετ' ὀλίγους δὲ στίχους **ἀντίθετον.** Τοιαύτη περὶ τὴν χρῆσιν τῶν λέξεων ἀμέλεια καὶ σύγχυσις πᾶν ἄλλο ἐμφαίνει ἢ elegantiam Ciceronianam. Αἴρεται δ' ὅμως ἡ σύγχυσις, ἐὰν ἐκβληθέντος τοῦ ad agendum ὑπολειφθῇ μόνον τὸ facultas, ὅπερ ταὐτὸν τῷ dicendi facultas. Σχολαστικός τις ἀγνοῶν τὴν τετριμμένην χρῆσιν τοῦ facultas ἀντὶ τοῦ dicendi facultas παρέγραψεν ἀτόπως τὸ ad agendum ἐκεῖνο, ὅπερ αὐτὸς ἐλάμβανεν ἀντὶ τοῦ *ad dicendum.*

Καὶ ἡ συμμετρία ἀπαιτεῖ ὅπως πρὸς τὸ ἄνευ προσδιορισμοῦ κείμενον auctoritatis ἀντιτεθῇ μόνον facultatis ἄνευ οἱουδήποτε προσδιορισμοῦ.

Σπ. Βασης

Digitized by Google

Η ΓΕΝΙΚΗ ΚΑΤΑ ΚΥΠΡΙΟΥΣ

Τὸν καθ' ἡμᾶς Κύπριον λόγον, ἔξω τῶν ἐπιπολῆς, ὡς ἄν τις εἴποι, περὶ τὴν προφορὰν ἰδιωτισμῶν, τινὲς καὶ ἄλλοι κατά τε τοὺς τῶν λέξεων τύπους καὶ τὴν τῆς φράσεως κατασκευήν, τοῦ ἡμῖν κοινῇ συνήθους ἀποκρίνουσιν. Τὸ δὲ περὶ τούτους διατρίβειν τε καὶ σχολάζειν μικρολογίας μέν τινος φαίνεσθαι καὶ ἀπειροκαλίας τοῖς περὶ τἀστειότερα φιλολογοῦσιν ὁμολογῶ, οὐ μήν γε καὶ παντάπασιν ἄχαρι, ὅτε τῶν τοιούτων ῥηματίων ἔνια τῆς τῶν παλαιῶν φιλτάτης ὄζει συνηθείας· ἡδὺ γὰρ ἀπὸ ταὐτομάτου ἐντυχεῖν τῷ πάλαι ποτὲ τεθνηκέναι δοκοῦντι.

Πλειόνων δὲ τούτων τῶν ἰδιωτισμῶν ὄντων, ἐν τῷ παρόντι περὶ τῆς γενικῆς ὁ λόγος ἔσται μοι, ἧς τὴν ὑπὸ Κυπρίων χρῆσιν ἀηθέστερον οἶμαι τοῖς λοιποῖς τῶν Ἑλλήνων προςπίπτειν. Βούλομαι δὲ τοῦτ' ἐξ ἀρχῆς εἰπεῖν, ὅτι παντελῶς εἰς τὸν κωμήτην ἀφορῶ λόγον, ᾧ οἱ ἀγρόται νομίζουσι, διὰ δὲ τοῦτο καὶ τοῖς ἐκείνων λόγοις παραδείγμασι χρῶμαι πυκνῶς αὐτὸς συνειλοχώς.

Πρῶτον μὲν οὖν τοῦ τύπου πέρι φῶμεν, εἴ τι τοῦ κοινοῦ διαφέρει, ἔπειτα δὲ καὶ περὶ τῆς συντάξεως ὅπως ἔχει. Αὕτη γὰρ ἡ πτῶσις ἐν τῇ κλίσει τῇ καθ' ἡμᾶς ἀξιολογωτάτη τε πασῶν ἐστι καὶ μάλιστ' ἐπιστάσεως δεομένη. Διὰ γὰρ τὸ τῆς ἀρχαίας κλίσεως ποικίλον καὶ τὸ μηδεμίαν τετράγωνον ἀναλογίαν ὑποκεῖσθαι ταράττεται ἔτι τὰ ὀνόματα ἔν τε τῇ καταλήξει καὶ τῷ τόνῳ. Καὶ κρατεῖ μὲν ἐν ἀρσενικοῖς καὶ θηλυκοῖς, ἐκεῖνα μὲν τὸ ς ἀφαιρεῖσθαι (πλὴν ὧν εἰς ος τελευτᾷ), ταῦτα δὲ τὸ σύμφωνον ἐφέλκεσθαι, τὰ μέντοι οὐδέτερα σαλεύει ἔτι σφόδρα, πάντων δ' ὁ πληθυντικὸς ἐν πολλῇ ἀκοσμίᾳ διάκειται. Σκοπῶμεν τοίνυν ὄντινα τρόπον ἔχει ταῦτα τἀνώμαλ' ἐν Κύπρῳ.

Τῶν μὲν οὖν ἀρσενικῶν ἃ λήγει μὲν εἰς ας, τονίζεται δ' ἐπὶ τῆς τρίτης ἀπὸ τέλους, εἰς ου τὴν γενικὴν περαίνει καὶ τὸν τόνον εἰς τὴν δευτέ-

ραν καταβιβάζει. Αὐτίκα ὁ Λάρνακας - τοῦ Λαρνάκου, ὁ Κάθικας - τοῦ Καθίκου, ὁ Ὕψωνας - τοῦ Ὑψώνου, ὁ ἅις Τύχωνας - τἀϊ Τυχώνου, ὁ ἅις Σπυρίδωνας - τἀϊ Σπυριδώνου. Ἐκ δὲ τῆς γενικῆς τοῦ Συμπούλου παρακεχάρακται ὁ Σύμπουλας ὀνομαστική. Καὶ τοῦ καούρου δὲ καὶ βοθράκου ἐνδοιάζεται ἡ εὐθεῖα· ὁ κάουρας ἢ ὁ κάουρος, ὁ βόθρακας ἢ ὁ βόθρακος. Ἀλλ' οὐ πάντων· ὁ κόρακας τοῦ κοράκου, καὶ ὁ μάγκιπας τοῦ μάγκιπα. Τὰ δὲ τοῦ γειτόνου καὶ τοῦ ἀρκόντου διττὴν ἔχει τὴν ὀνομαστικήν, ὁ γεῖτος καὶ ὁ γείτονας, ὁ ἄρκος καὶ ἄρκοντας· ὁ ἄρκος ἔφαν κ' ἔβρασεν καὶ ὁ φτωχὸς ἐρίασεν. Ἀλλ' ἔχομεν καὶ γενικὴν ὁ ζάχαρις τοῦ ζαχάρου. Περὶ δὲ τῆς τῶν Ἁγίων τἀι Νικολά, τἀι Δημητριοῦ (τέσσαρσι συλλαβαῖς) τἀjjωρκοῦ (διπλῷ j) πρβλ. καὶ Μπουντώνα Μελέτην περὶ Βελβεντοῦ σ. 38. Ὁ δ' ἅις Εὐρέσις, Ἀμβρόσιος ἐπ' ἀληθείας ὤν, τἄι Βρεσιοῦ κλίνεται. Τῶν δὲ λοιπῶν τὸ κατὰ τὴν αἰτιατικὴν ἕνας οὐ γενικὴν ἕνα ἔχει, οὐδὲ τὴν ἑνός, καθάπερ τὸ ἀντρός, τετήρηκεν, ἀλλ' ἐκ ταύτης ἄλλην καὶ ἄλλην κλίσιν μετεχάραξεν ἑνοῦ (οὔδ' ἑνοῦ, Μαχ. 229) ὃ τὸ ἑ, ἅτ' ἄτονον τυχόν, ἀκρωτηριασθέν, νοῦ κυκλεῖται, καθάπερ καὶ κανενοῦ. Οὐκ ἄλλως δὲ τὰ τούτων οὐδέτερα. Παραπλήσιον καὶ τὸ μηνοῦ, κατὰ δὲ τοῦτο καὶ χρονοῦ περισπωμένως. Τὸ δ' ἐν Πάφῳ μεμενηκὸς ἔτι τίς καὶ τὴν τίνος σέσωκε. Καὶ τὸ βυζαντιακὸν κῦρις τὴν κυροῦ, καθ' ἣν καὶ νοικοκυροῦ (πρβλ. καραβοκυροῦ, Βουστρ. 418), ἀνάληθες δὲ τὸ παρὰ Σακελλαρίῳ (Β' ξ') τοῦ κύρι.

Καὶ τῶν θηλυκῶν τὰ εἰς α προπαροξύτονα τοπωνυμικὰ τὴν γενικὴν εἰς ου καταλήγει· ἡ Ἄλασσα - τῆς Ἀλάσσου, ἡ Ἀλέκτορα - τῆς Ἀλεκτόρου, ἡ Χλώρακα - τῆς Χλωράκου, (ἡ πίσσα τῆς Χλωράκου) ἡ Ἀνώυρα τῆς Ἀνωύρου

Τῆς Ἀνωύρου τὰ στενά, τὰ χόρτα της μυρίζουν

σὺν δὲ τούτοις καὶ ἡ θάλασσα - τῆς θαλάσσου (πρβλ. Beaud 72). Ἀλλ' ἡ τῶν θηλυκῶν εἰς ου γενικὴ οὐκ ἀήθης τις τοῖς Κυπρίοις Ἀκοῦσαι γὰρ ἔστι· τῆς Ταύρου, τῆς Σιλίκου, τῆς Λεμεσοῦ τῆς Καλαβασοῦ, ἀλλὰ παρὰ ταύταις καὶ τὰς μετὰ τοῦ ς, τῆ

Λεμεσοῦς' τῆς 'Οδοῦς, τῆς 'Αθηαίνους, καὶ δὴ καὶ τῆς Κύπρους.

'Ανάμεσα τῶλ λεμονιῶν κιἀνάμεσα τοὺς κίτρους
Δκιαλλάσσει κ' ἡ ἀγάπη μου, τὸ φιντικλὶν τῆς Κύπρους.

Οὐδέτερον δ' οἱ λέγοντες ἄτοπον ἡγοῦνται, καὶ ὡς ἀμφοτέρως εἰπεῖν ἐξείη, πρὸς τὰς ἐμὰς πύστεις ἀπεκρίνοντο· ἔστι δὲ τούτων ἡ ζήτησις οὐκ ἄκαρπος, ἅτ' εἰς ἐξέτασιν παράγουσα τοπωνυμιῶν πλεῖν ἢ τριάκοντα, εἰς ου παροξύτονον τὴν εὐθεῖαν ληγουσῶν, τίνα τρόπον οὕτως ἐσχηματισμέναι εἰσίν. 'Οθνεῖον γάρ τι πεπονθέναι πάθος ὀνόματ' ἀκηράτως ἑλληνικά, οἷα Λόφου τε καὶ Κοφίνου καὶ Νήσου καὶ Μύρτου, ἄτοπον ἂν εἴη πιστευθῆναι. Πάντων δὲ πιθανώτατον ὅτι τῆς γενικῆς τὸ ς κατὰ τἄλλα θηλύκ' οἰκειωσαμένης, τοὔμπαλιν εὐθεῖα ἡ πάλαι πλαγία γέγονε· τῆς Πάφου, τῆς Πάφους, ἡ Πάφου. 'Εντεῦθεν δὲ καινὸς νενόμισται τύπος ὀνομαστικῆς ὁ εἰς ου παροξύτονος πρὶν τὸν τῆς γενικῆς ἐκποδὼν ἀπιέναι. Τὸ δὲ παρὰ Βουστρωνίῳ (Σάθα 440. 454 κλ.) τῆς νυκτοῦ, καὶ τῆς νυχτοῦς τήμερον λέγεται, κατὰ δὲ τοῦτο καὶ τῆς ἡμεροῦ καὶ ἡμεροῦς καὶ τῆς ὡροῦς, ὥσπερ ἐν τῇ παροιμίᾳ «μιᾶς ὡροῦς δουλειά, νοῦ χρονοῦ μελέτημαν».

Τὰ δ' οὐδέτερα, πλὴν ὧν κατὰ τἀνέκαθεν εἰς ς τελευτᾷ, εἰς ν πάντα λήγει. Φέρε τοίνυν αὐτὰ διέλωμεν. Τὰ μὲν εἰς μαν πάντα, παροξύτονά τε καὶ προπαροξύτονα, πλάττει γενικὴν εἰς μάτου· τοῦ τριμμάτου, τοῦ λουμάτου, τοῦ ῥαμμάτου, τοῦ σπασμάτου, τοῦ φτυμμάτου, τοῦ κλημάτου, τοῦ στομάτου ἔτι δὲ τοῦ Πασκάτου καὶ τοῦ γαλάτου, εἶτα δὲ τοῦ ῥοδοστεμμάτου, τοῦ ἑψημάτου (ἕψημαν τὸ 'Αθήνησι πετμέζι)

'Εξέβην τἄστρον τῆς πωρνῆς καὶ τοῦ ξημερωμάτου.

'Αλλὰ τὰ εἰς μον οὐκ ἔχει πάντα γενικήν· λέγεται μὲν γὰρ τοῦ [illegible] αψιμάτου, τοῦ ῥαψιμάτου, φεύγεται δὲ τοῦ φταισιμάτου, [illegible]οῦ ἀψιμάτου κλ. "Α δ' εἰς ιν τελευτᾷ τὴν κοινήν, ὥσπερ εἰκός, [illegible]jοῦ γενικὴν ἔχει, ποικίλην κατὰ τὸ πρόσθεν σύμφωνον τοῦ j ὄψιν

Digitized by Google

μεταβαλλομένου. Ἀλλ' ἔστιν ἅττα τούτων ἄκλιτα μένει, ἐπιρρήματα καταστάντα, οἷον τὸ πᾶσιν Ἕλλησιν οἰκεῖον μονορούφιν· αὐτίκα ἐφτάσαμεν μονοτσίννιν ἢ μονοβούριν, ἐνὶ δρόμῳ, ἢ μονοκόρτιν, οὐ σχολὴν διαλιπόντες, ἐμείναμεν μεσοδόκιν, ἐν μέσῳ τῷ πράγματι κατελείφθημεν, ἔπκιασεν τη ξωπέτσιν, ἀκροθιγῶς, ἐγέμισέν τα τρισπίλιν ἢ τρουλλίν, μέχρι στεφάνης, ἐπὶ δὲ πᾶσι τοῦτα τὰ μῆλα ἐj γιώρκιμ μου. Ἀλλὰ πολλῷ τούτων ἀξιολογώτερα περιλείμματ' ἅττα τῆς ἀπαρεμφάτου, γενικῆς καὶ ταῦτ' ἐπιδεῆ, πλὴν τῶν τοῖς Πανέλλησι συνήθων τοῦ φαγειοῦ καὶ τοῦ φιλειοῦ. Δεῖ δὲ περὶ τούτων μακρότερόν πως διαλαβεῖν, μικρὸν τὸν λόγον ἀπαρτήσαντας. Ἔστι δὲ τέτταρα· τὸ πεῖν (μὲ τὸ πεῖν ἔν και γένεται), τὸ πκεῖν (πιεῖν ἀφῃρημένως, νερὸj γιὰ πκεῖν, προσηγορικῶς δὲ τὸ τοῦ πώματος ὑπόλειμμα πόπκειν καὶ πληθ. πόπκεια), τὸ πατεῖν (ὃ οὐκ ἄλλως ἢ διπλῶς ἐκφέρεται, οἷον εἰπεῖν ἦρτεν πατεῖν πατεῖν, ἄκροις τοῖς ποσί) καὶ τὸ δεῖν, ἅμα τε βλέμμα τοῦ ὁρῶντος καὶ θέαν τοῦ ὁρωμένου σημαῖνον

Μὲς τοὺς πολλοὺς μέμ με θωρῃς μὲ τὸ γλυκὺν τὸ δεῖσ σου

καὶ πάλιν

Καὶ νάμουν κλῆμαν κρεμμαστὸν εἰς τὴν κληματερήσ σου
Νάρκεσουν νάππεφτες στὸ σκιός, νὰ χόρταννα τὸ δεῖσ σου.

Μὴ ἀτιμάσωμεν δὲ καὶ τοῦτ' εἰπεῖν, ὅτι ἔχω σε δεῖν οὐ ταὐτὸν καὶ τὸ ἑόρακά σε, ὡς ἄν τις οἴοιτο, ἀλλά τις τὸ φρασείδιον παρακέλευσίς ἐστιν, ἐκείνῃ τῇ παρ' Ὁμήρῳ (Ν, 95) παρεμφερής, ἣν Ποσειδῶν τοῖς Ἀργείοις παρακελεύεται «ὔμμιν ἐγώ γε . . . πέποιθα». Οὐδὲ τοῦ ἔθ θελει πεῖν ὁ νοῦς οὐκ ἐρεῖ, ἀλλ' οὐ λόγων χρῄζει, εἴτ' οὖν αὐτεπάγγελτός τι ποιήσει. Ταύταις δὲ ταῖς ἀπαρεμφάτοις προσθετέον καὶ τὸ κόλουρον στραφῆν, ἐπάνοδος· στὸ στραφῆσ σου· τὸ στρέφομαι γὰρ ἐν Κύπρῳ ἀνακάμπτω δηλοῖ, σῴζει δὲ τὸν ἀόριστον ἐστράφην. Ὧν δ' οὐδετέρων ἔχει τὸ ς καταληκτικὸν τὰ μὲν εἰς ος τὴν γενικὴν εἰς ου περαίνει καὶ τὸν τόνον τὰ ἐπὶ τῆς τρίτης ἀπὸ τέλους τονιζόμενα καταβιβάζει. τὸ Τρόοδος - τοῦ Τροόδου, τὸ Ὅμο-

Digitized by Google

δος - τοῦ Ὀμόδου, τὸ Κυλάνεμος - τοῦ Κυλανέμου, τὸ ὄρος - τοῦ ὄρου, τοῦ μάκρου, τοῦ βάρου, κεῖθθε μέρου. Ἀνήκουστος μέν τοι τῶν μονοσυλλάβων ἡ γενική· ἄκλιτα γὰρ τὸ σκιός, τὸ ρκὸς (χρέος) καὶ τὸ βκιός· ἀλλὰ τὸ φῶς φοῦ γενικήν, ὦ Μοῦσαι φίλαι, παρεχάραξεν·

Ἐχτὲς χαράματα τοῦ φοῦ ἐφίλουμ μιὰν κ' ἐλάλεν.

Καὶ τὰ εἰς ας μονοσύλλαβα στέρεται πλαγίας· λέγω δὲ τὸ χάς, ταὐτὸν τῷ χάος, τὸ φάς, «ἐν πάνω στὸ φάς του» ἡνίκα μάλιστα ἐσθίει τὸ καματερόν, ὁ τῆς μετάξης σκώληξ, (ἡνίκα δέ τι ἐσθίεται καλὸν εἰς ἐδωδήν, ἐν πάνω στὸ φαεῖν του λέγεται), πρὸς δὲ τούτοις τὸ διάστροφον πᾶς παρακοπὲν διὰ τὸ μηδὲν ἄλλο σύστοιχον αὐτῷ μονοσύλλαβον λῆγον εἰς αν ὑπεῖναι· οὖλον τὸ πᾶς τοῦτον ἐνι. Ἀλλὰ τὸ μὲν ἅλας κόπτει γενικὴν ἁλάτου, τὸ δὲ κριὰς κριατός.

Τῶν οὖν περὶ τοῦ ἑνικοῦ πρόσθεν εἰρημένων ἀξιολογώτατον, ὡς ἐγῷμαι, τὸ πάντα τὰ γένη γενικὴν ἔχειν τῶν προπαροξυτόνων τοπωνυμικῶν εἰς ου, τὸν τόνον καταβιβάζουσαν· τοῦ Λαρνάκου, τῆς Χλωράκου, τοῦ Ὀμόδου. Ἀλλ' ἀεὶ τὰ τῶν τόπων ὀνόματα δυσκολώτερ' ἀλλοιοῦσθαι.

Ἴωμεν νῦν ἐπὶ τὸν πληθυντικόν. Πρῶτον δὲ τοῦτο φῶμεν, ὅτι γενικὴν ἀρσενικῶν εἰς ων τελευτῶσαν ῥᾳδίως οὐκ ἄν τις εὕροι. Λέγεται γὰρ στὴμ μακαρκὰν τοὺς ἀπεθαμμένους σας, οἱ κόρες τοὺς βοσκούς, τὰ σπίδκια τοὺς Ἐγγλέζους καί του δ' ἑλληνίζοντος ἔτι μέμνημαι τὰ ὅπλα τοὺς Κρῆτες εἰρηκότος. Μόνα δ' εὔχρηστα τὸ πόσων, τριῶν, μηνῶν, χρονῶν καὶ ππαραδκιῶν. Θαῦμα δ' εἰπεῖν, ὡς ἤδη πρὸ τῆς Ἁλώσεως ἡ πτῶσις ἐσεσίγητο. Μαχαιρᾶς γοῦν καὶ Βουστρώνιος, τὼ Κυπρίω χρονογράφω, κατ' ἐκεῖνο τοῦ χρόνου συγγεγραφότε, δοκεῖτον παντάπασιν αὐτὴν ἀγνοεῖν. Φησὶ γὰρ ὁ ἕτερος (παρὰ Σάθᾳ σ. 103) οἱ θεμελοὶ τοὺς πύργους (γρ. θεμελιοί· ὁ θεμελιὸς δέ φασιν οἱ Κύπριοι, καθάπερ κατὰ Θωμᾶν τὸν Μάγιστρον «θεμέλιος οἱ κοινοί· τὸ θεμέλιον οὐδετέρως Ἀττικοί») τὰ παιδία τοὺς ῥηγάδες (σ. 96) καὶ ἔμπροσθεν τοὺς αὐθένταις καὶ τοῦ πόπουλου (σ. 78). Βουστρώνιος δὲ (παρὰ Σάθᾳ

σ. 452) εἰς τὰ ποδία τοὺς Σαρακηνούς, καὶ (σ. 461) τὰ χαρκωματικὰ τοὺς νοικοκυρούς, καὶ (447) οὖλα ἔδωκεν τα τοὺς χαλφούσιδες, ἀπαντᾷ μέντοι παρ' αὐτῷ (σ. 449) τὸν πίσκοπον τῶν Φράγκων. Ταύτην δὲ τὴν τῶν ἀρσενικῶν γενικῆς ἐπίλειψιν δεδήλωκε μέν πως Σακελλάριος (Κυπριακῶν Β' ξα') δεδήλωκε δὲ σαφέστερον Βαυδουῖνος (Beaudouin, Étude du dialecte Chypriote, p. 96). Λοιπὸν τοίνυν τοῦτ' ἐπισκέψασθαι, εἰ ἄρδην ἡ πτῶσις ἠφάνισται, τῇ αἰτιατικῇ παραχωρήσασα καὶ ταύτην ἐκστᾶσα ἢ αὐτὸς καθ' αὑτὸν ὁ τύπος ἠλλοίωται καὶ τῇ αἰτιατικῇ συναφωμοίωται. Πολλῷ μὲν οὖν ῥᾷον ἄν τις ἀπαλλαγείη, ἐκεῖνο τὸ πρῶτον ἀποδεχόμενος, ὃ καὶ συμφανέστερον εἶναι δοκεῖ. 'Αλλ' οὐδεὶς φθόνος καὶ τὸ δεύτερον σκέμμα διαπτύξαι· ὁρμᾶται δ' ἐνθένδε· εἰ γὰρ τὴν γενικὴν Κύπριοι δυσχεράναντες ἡ ἄλλαἡ τοὺς γαμπροὺς εἶπον, τί οὐκ ἔφασαν καὶ ἡ ἄλλαἡ τὲς νύφφες; Διὸ δὴ τοῦτ' ἄν τις εἰκάζειν ἔχοι, ὅτι κατὰ τὴν ἑνικὴν τοῦ λεχθείη καὶ πληθυντικὴ τούς, ὅτε περισπαστέα μᾶλλον, πρῶτον μὲν ἐν τοῖς δευτεροκλίτοις, εἶτα δὲ κἀν τοῖς ἄλλοις ἅπασι κρατήσασα· εἶπον οὖν Κύπριοι κατὰ ταῦτα πρῶτον ὥςπερ τὰ λόγια τοῦ δασκάλου, τὰ λόγια τοὺς δασκάλους, ἐκβληθείσης δ', ἐπειδὴ χρόνος ἐγένετο, τῆς εἰς οὺς καταλήξεως ὑπὸ τῆς εἰς οῦδες τελευτώσης ἐν τοῖς ὀξυτόνοις, τὰ βάσανα τοὺς κυροῦδες, τὰ μάλια τοὺς γαμπροῦδες, ἡ κέλλα τοὺς παπᾶδες, τὰ βελόνια τοὺς ῥάφτες ἢ τοὺς ῥαφτᾶδες κλ. 'Αλλὰ τὸ ζήτημα μᾶλλον ἱστορικῆς δεῖται βασάνου.

Τὰ δὲ θηλυκὰ τὸν τόνον οὐ μετακινεῖ· τῶν ὄρνιθων, τῶν κάμαρων, τῶσ σήκωσων (τῶν ἀπόκρεων), τῶν πόρτων, τῶν κόρων, τῶϐ ϐούλλων, τῶϐ ϐάρκων, τῶϐ ϐαρέλλων, τῶν κοπέλλων, τῶν πατάτων, ἄψιμον τῶλ λάμπων, τῶν κουκκουμάρων (ὃ σῴζει τὸν τοῦ cucuma ἀναδιπλασιασμόν). Κόρη δὲ γαμϐροὺς ἀναινομένη, τάδε φησί·

Τὰ ξώφυλλα τῶμ μαρουλλιῶν τὰ φύλλα τῶν κινάρων
Τὰ ποδκιαλόγια τοῦ χωρκοῦ λαλοῦμ μου νά τα πάρω.

'Αλλὰ Πάφιοι τῶν κορῶν φασι, πάντες δὲ Κύπριοι τῶϳ γεναικῶν· τῶν ὄψων δ' ἢ τῶχ χάρων (οἱ χάρες, οἱ ὄψες) οὔτ' ἔστιν εἰ-

Digitized by Google

ρημένον, οὔτε ποτὲ ἔσται, ἀλλὰ λέγεται τῶ βρύσων. Τῶν δ' ὀξυτόνων μόνα τὰ εἰς jὰ λήγοντα, δένδρων τὰ πλεῖστα δηλωτικά, τὴν γενικὴν περισπωμένην ἔχει, οἷον τῶν πορτοκκαλλιῶν, τῶν ἀθασιῶν, τῶσ συκαμιῶν, τῶσ συκιῶν, τῶν κορασιῶν. Τὰ λοιπὰ γὰρ μεταπεποίηκε τὸν πληθυντικὸν εἰς ᾶδες, άδων· οἱ κεφαλᾶδες, τῶν κεφαλάδων, οἱ προκοπᾶδες, οἱ κυρᾶδες, ὅθεν ῥῆμα κυραδέϐκομαι (κάμνω τὴν κυράν), οἱ γιορτᾶδες, οἱ ἀλλαᾶδες, οἱ θκειᾶδες, οἱ ἀδερφᾶδες, κατὰ δὲ ταῦτα καὶ οἱ μανᾶδες.

Κ' ἐμέναν ἐταίσαμ με δκυὸ γλῶσσες τῶν κουφάδων
Καὶ δκυὸ νουρᾶδες τῶν θερκῶν, κόρη, νὰ μέσ σε πάρω.

Τῶν δ' οὐδετέρων οὐσιαστικῶν ἃ εἰς ον τελευτᾷ τὸν τόνον πάντα κατεϐίϐασε. Φασὶ γὰρ τῶρ ῥουχῶν, τῶν πκιατῶν, τῶμ μηλῶν, τῶσ συκῶν, ὃ δὲ θαυμαστότερον, κατὰ ταῦτ' ἄν τις ἀκούσειε καὶ τοῦ μηλοῦ, τοῦ συκοῦ. Ὅπως δὲ ταῦτα γέγονε, παντί γ' εὔγνωστον· συνεξέδραμε γὰρ τοῖς εἰς jῶν διὰ τὸ j περισπασθεῖσιν, οἷα τῶχ χερκῶν, τῶν ποδκιῶν, ἃ πολλῷ συχνότερα, μᾶλλον δ' εἰπεῖν, μόνα τῶν πάντων οὐδετέρων ἐν τῷ πληθυντικῷ κλιτά. Καὶ γὰρ οὐ κόπτει γενικὴν τὰ εἰς η τὴν πληθυντικὴν ὀνομαστικὴν τελευτῶντα, ἣ τέθηλε παρὰ Κυπρίοις οὐχ ὅσον ἐν οἷς κεκληρονομήκασιν, ἀλλὰ κἀν ἄλλοις κεκαινοτομημένοις. Φασὶ γὰρ τὰ ὄρη, τὰ κάλλη, τὰ στήθη, τὰ χείλη, τὰ μέλη («ἐκόπησαν τὰ μέλη μου»), τὰ πάχη, ἐν ᾄσματι δὲ τὰ σκότη, πρὸς δὲ τούτοις τὰ λάθη, τὰ θάρη («εἶχα τὰ θάρη μου πάνω σου», σοὶ μάλιστ' ἐπεποίθειν), τὰ ἴδρη (τὸ ἴδρος) τὰ βούρη (τὸ βοῦρος ταὐτόσημον τῷ θεῖν, ἔχει δ' ὑποκοριστικὸν γενικῆς ἐνδεὲς βουρίν· «πάαιννʼ ἔναϐ βουρὶδ δός του τα»). Καὶ τῶν εἰς ον δὲ ληγόντων ἄττα τοῦτον τὸν τρόπον τὸν πληθυντικὸν ἐπέρανε· τὰ δένδρη, τὰ ἄστρη, τὰ κάστρη, οἷς Βαυδουῖνος ἤκασε τὰ εἰς ρον ἐπαμφοτερίζειν (Êtude p. 69). Ἀλλ' οὔτε τὰ κάρη λέγεται καὶ τοὔμπαλιν τὰ οὔλη, ἴσως ῷ τὰ χείλη συνεκδραμόν. Περὶ δὲ τῶν εἰς α τὴν πληθ. ὀνομ. ἀποληγόντων κἀπὶ τῆς τρίτης ἀπὸ τέλους ὀξυνομένων, ὁπόταν τῆς γενικῆς δέηση, ἐνδοιαστῶς ὁ Κύπριος ἐκφέρει τε ταύτην καὶ τονίζει· ἢ ἀμπού-

Digitized by Google

στα τῶ σπίριτων, ἀλλὰ καὶ τῶ σπιρίτων· μᾶλλον δὲ τῶν τρανταφύλλων, τῶρ ῥοδακίνων, τῶ χρυσομήλων, τῶ ζιζύφων, τῶν κοντύλων, ἀλλ' ἀεὶ τῶχ χωμάτων. Διὸ τοίνυν ἀσμεναίτατα ταῦτα φεύγουσι καὶ περιφράσεώς τινος διὰ τῆς πού, ἤτοι τῆς ἀπό, ποιοῦνται χρῆσιν, ὡδί· ἡ ἀμπούστα ποὺ τὰ σπίριτα, τὸ κοφίνιν ποὺ τὰ ῥοδάκινα, τὸ καλάθιν ποὺ τὰ χρυσόμηλα, τὸ πανέριν ποὺ τὰ ζίζυφα κλ. Ἀναλογώτατον δὲ τοῦτο τὸ πάθος ταῖς λατινογενέσι φωναῖς, διὰ τῶν de καὶ di τὴν τῆς γενικῆς δηλούσαις σχέσιν, παραβλητέα δὲ καὶ ἡ παρὰ Γερμανοῖς προϊοῦσα τῆς von χρῆσις.

Ἐν πᾶσιν οὖν τοῖς ἄνω φθίνοντα διαφανῶς τὸν τῆς πληθυντικῆς γενικῆς τύπον ὁρῶμεν, τὸν δὲ τῶν ἀρσενικῶν καὶ ἤδη τετελευτηκότα. Ἐλέγομεν δὲ περὶ τῶν οὐσιαστικῶν. Κατὰ δὲ τῶν ἐπιθέτων τοσοῦτ' εἰπεῖν ἀπόχρη, ὡς οὐ θαμὰ κατὰ γενικὴν παραλαμβάνεται, κατηγορούμενα ὡς τὰ πολλὰ ὄντα, εἰ δέ τι καὶ παραληφθείη, καθάπερ τὸ προσδιοριζόμενον ἂν πλάττοιτο, τὸν τῆς ὀνομαστικῆς μὴ μετατιθὲν τόνον· οἷον τῶν ὄμορφων, θηλ., τοὺς ὄμορφους, ἀρσ.

Περὶ μὲν οὖν τοῦ τύπου μετρίως μοι ἐλπίζω εἰρῆσθαι. Ἐφεξῆς δ' ἐπὶ τὴν σύνταξιν τῆς πτώσεως ἰών, φημὶ τοὺς Κυπρίους τὸν λόγον κατασκευάζοντας πολλαχῇ ταύτῃ χρῆσθαι, ἐν οἷς μὲν ἐπὶ τῆς τῶν προγόνων μένοντας συνηθείας, τινὰ δὲ καὶ νεοχμώσαντας. Χαλεπώτερον δέ πως ἐντεῦθεν τοὔργον, πολλῶν μὲν ἀποροῦντι, ἅτ' οὐδενός πω τῶν ἡμετέρων τῆς ἡλικιώτιδος συντάξεως ἡμμένου, οὐκ ἔχοντι δ' ὅπως ἕκαστον τῶν σχημάτων ἀπακριβώσω τε καὶ ἀποσαφήσω, παντοδαπῶν μὲν ὄντων, οὐ πᾶσι δὲ συνήθων, οὐδ' αὐτῷ οἰκείως προσπιπτόντων. Ὅμως δὲ κατὰ τὸ ἐμαυτῷ δυνατὸν καὶ ταῦτα διελθεῖν πειράσομαι, συμβολήν τινα σμικρὰν παρασχέσθαι βουλόμενος οἷς ἐπιμελές ἐστι καὶ τὰ καθ' ἡμᾶς εἰδέναι. Ἀλλ' οὖν φυλοκρινήσωμεν καὶ ταῦτα καὶ καθ' ἓν ἕκαστον ἐξετάσωμεν.

Πρῶτον μὲν ἃ μνήμην ἢ λήθην ἐδήλωσε ῥήματα γενικῇ συντάττεται· οἷον ἀθθυμήθην τῆς ἀδερφῆς του. Πρβλ. καὶ Σακελ. Β', 60 (Δημ. ᾆσμ. 16, 57)

Τοῦ τόπου μ' ἀθθυμήθηκα κ' ἔχ' ἡ καρκιά μου λύπην.

Πολυθρύλητος δ' ἐν τούτοις τοῖς ἐρωτικοῖς ᾀσματίοις ἥδε ἡ ἀρχή· «Ἀντὰν νὰ τῆς ἀθθυμηθῶ», ἑπομένου πάσχω τὸ καὶ τό. Ἀλλ' εἴρηται καὶ

Τὰ λόγια, πώσυντύχαμεν, πάντα νὰ τάθθυμᾶσαι.

Τὸ δ' οὐ συχνὸν λησμονῶ ἐν τῷδ' εὕρηται, ὃ παρά τε Λουκᾷ (Φιλολ. ἐπισκ. 67) καὶ Σακελλαρίῳ (Β', 210, Διστ. 15)·

Ποῦ φᾷ ψουμὶν τῆς Τιλλυρκᾶς καὶ πκῇ νερὸν τοῦ Βάτου
καὶ ποῦ φιλᾷ τὰ χείλη σου τοῦ Χάρου λησμονᾷ του.

Πάλιν ὅμως ἐν ἑτέρῳ

Μάναν καὶ κῦριλ λησμονῶ καὶ οὔλους τοὺς δικούς μου.

Καὶ τὸ πολλῷ δὲ συνηθέστερον ξιχάννω ὃ ξεχνῶ φαμεν, αἰτιατικῇ.

Ἑξῆς δὲ τὰ ἀκοῆς δηλωτικά· οἷον ἄκουσα τοῦ ῥολογιοῦ·

Γροικῶ τάέρα ποῦ φυσᾷ καὶ κείνης πολοοῦμαι

Παραπλήσιον καὶ τὸ κρόννομαι ταὐτὸν τῷ ἀκροῶμαι, παραγενόμενον ἐκ τοῦ ἀορίστου ἠκροάσθης - ἐκρόστης, καθάπερ ἐχώστης χώνομαι, ἐζώστης ζώννομαι, καὶ ὑπακούειν ἐννοοῦν· ἐκρόστην τοῦ πεθθεροῦ της κ' ἔν ἔπηεν. Οὐκ ἄλλως δέ, ἄκουσα τοῦ παπποῦ μου, ἀδελφὸν τῷ παλαιῷ γνωμικῷ «ἀκούειν τῶν γεραιτέρων».

Εἶτα τὸ τῆς ἀφῆς ἐγγίζω· μὲν ἐγγίζης τοῦ γλυκοῦ.

Ἐφεξῆς δὲ τὸ γέβκομαι καὶ μυρίζομαι· ἔν ἐγέφτηκα τῆς φλαούνας· ὅσον κ' ἐμυρίστην τοῦ ὀφτοῦ, ἐκατέβημ μας. Τὸ δὲ φρασείδιον μυρίζομαι τῶν νυχιῶμ μου μαντεύομαι δηλοῖ. Ἀλλὰ καὶ τῇ αἰτιατικῇ συντάττεται τὰ ῥήματα, ξένη δ' ὅλως χωρὶς τοῦ ἄρθρου ἡ γενική· οὐ γάρ ἐστιν εἰπεῖν ἐγέφτηκα φλαούνας.

Ἐν κεφαλαίῳ δὲ τά τινος αἰσθήσεως ἐμφατικὰ γενικῆς χρήζει· ἔμ μου καταλάβει. Καὶ τὸ νόθω δ' ὃ αἰσθάνομαι δύναται, πρός τινων ἀγροτῶν οὕτω συντάττεται· ἔσ σου ἔνοσα πώφάκκησες κόψαντος οὐκ ᾐσθόμην· ἀλλὰ τὸ σύνηθες ἔσ σ' ἔνοσα. Ἐνταῦθα δὲ

Digitized by Google

καὶ τοῦτ' ἔοικε ῥητέον εἶναι, ὡς ἀπὸ τοῦ ἀορίστου τοῦ νοῶ ἐνόησα-ἔνοσα παραγέγονε τὸ ῥῆμα, καθάπερ ἔκλωσα κλώθω (πρβλ. καὶ ἄπλωσα ἀπλώθω) καὶ οὐ τοῦ θέματος τοῦ γιγνώσκω, ὥσπερ Μαϋέρῳ γέγραπται (Rivista di Filologia, anno IV p. 255).

Ἄλλη δέ τις ἐφεξῆς γενικῶν φυλή, ἃς ἐφετικὰς καλέσωμεν· ἐνταῦθα δὲ μεθ' οὗ ἀκήκο' ἀντικειμένου ἕκαστον καταλέγω ῥῆμα· ῥέεται τἀππιδκιοῦ, ἐλιμπίστην τῆς κοπέλλας, κάδκομαι τῆς συντροφκιᾶς, ψοφῶ τοῦ δκεδαστικοῦ, ἐλύσσιασα τοῦ νεροῦ, ἐπνίηκα τοῦ ππαρᾶ, ἐφύρτηκα τοῦ χρυσόμηλου, ἐλλιώθηκα τῆς ἀναρῆς, λιμάσσει τοῦ ψουμιοῦ,

Ποκαρυμμένε τοῦ φιλειοῦ καὶ παιλλολαωμένε.

Ἄθρει δ' ὡς οὐ φύσει τὰ πλεῖστα τούτων ἐφετικά, ἀλλὰ πάθος ὁτιοῦν δηλοῦντα, τοὺς ἐφιεμένους παρατείνειν θρυλούμενον. Ὃ θαυμασιώτερον ἔμοιγε δοκεῖ, ὅτι οὐκ εἰκῇ κατὰ κληρονομίαν τὴν σύνταξιν νενομισμένην, ἀλλ' αὐτῇ τῇ ψυχῇ τῇ τῶν λεγόντων καὶ νῦν ἐνερηρεισμένην ἀποφαίνει. Ἔστι δ' ὡς ἀληθῶς πᾶσι Κυπρίοις οἰκειοτάτη. Καὶ τοῦτο μέντοι ῥητέον, ὅτι μετ' ὀνομάτων ἀεὶ τοῦ ἄρθρου δεῖται, ἥκιστ' εὐπρεπῶς. Διὰ δὲ ταύτην τὴν ἀνάγκην ἐλέχθη κατὰ τοὺς ἄλλους Ἕλληνας

Ποῦ πάσιν νὰ τὸθ θάψουσιν γιὰναφ φιλεῖν καμένον.

Ἑτέρα δὲ δὴ γενικῆς σύνταξις ἡ τοῦ αἰτίου. Ταύτην κοινῇ τῇ ἀπὸ εἰώθαμεν ἀποδιδόναι, ὥσπερ τῇ γιὰ ἣν νῦν δὴ ἐλέγομεν. Χρὴ δ' ἑξῆς τὰ κατ' αὐτὴν ἐκτιθέναι, καθ' ἕκαστον βασανίζοντας, ἵν' ἄμεινον τὸν νοῦν τῶν φράσεων συνιῶμεν. Πρῶτον μὲν οὖν μετὰ ῥήματος· ἐλαώθηκεν τῆς δίψας, ἐψόφησεν τῆς πείνας, ἔσκισεν τῆς κρυότης, ἐμαύρισεν τοῦ ἥλιου. Παραπλήσιον δὲ

Ἐσήκωσά τηϳ γιὰ νὰ πᾷ κ' ἐλούθην τοῦ κλαμάτου

ὅ ἐστι κλαίουσα τοῖς δάκρυσι κατεβρέχθη. Εἶτα δὲ μετὰ μετοχῆς παθητικῆς, ὥσπερ ποιητικὸν αἴτιον, ὃ ῥᾴδιον καταμαθεῖν, τὴν σύν-

Digitized by Google

ταξιν ἀναστρέψαντα· ἐφ φαημένον τοῦ σκούλουκιοῦ, ἤγουν ἐνεργητικῶς ἔφαν το τὸ σκουλούκιν· ἐμ πκιασμένη τοῦ ἥλιου = ἔπκιασέν την ὁ ἥλιος· ἡ μουτσοῦνα τοῦ μωροῦ μου ἐμ πλουμισμένη τῶν κουνουπκιῶν· ἐμ ποσταμένος τοῦ κυνηοῦ = ἐπόστησεν τον τὸ κυνήιν, ἐ σκοτωμένος τῆς δουλειᾶς, ἐ σφαμένη τοῦ καμοῦ, αὐτὸ δὴ ἐκεῖνο τὸ τῆς Γραφῆς, «ὅτι τετρωμένη ἀγάπης εἰμὶ ἐγώ (Ἆσμα ᾀσμ. Ε΄ 9)». Ἐφεξῆς δὲ μετ' ἐπιθέτου· ἐν κοκκωτὴ τῆς εὐλογιᾶς, ἐν κόκκινη τοῦ δρωταρκοῦ, ἐν ἀνήμπορη τῆς γέννας,

Σήμμερον ἤμουν ἄρωστος τῆς πύρεξις κομμάτιν.

Ἀλλὰ καὶ πορρωτέρω προήγαγον τὴν χρῆσιν· ἐπεὶ δῆλον ὅτι πρῶτον μὲν χαλεπὸν ἀεὶ τοῦ προσήκοντος ἐπιθέτου κυρῆσαι, εἶτα δὲ καὶ οὐκ ἐπάναγκες, ἅτε σαφῶς τοῦ ἀκούοντος κατὰ πεῖραν εἰδότος, ὅ,τι φέρει τουτὶ τὸ πάθος καὶ ὅ,τι τουτί, διὰ βραχυλογίαν, ὡς ἐγῷμαι, τοῖς Κυπρίοις εἴθισται λέγειν καὶ ἁπλῶς εἶμαι τῆς στράτας, εἶμαι τῆς καβάλλας, εἶμαι τοῦ κυνηοῦ, εἶμαι τοῦ ζεβκαρκοῦ, οὐδὲν ἕτερον προςτιθέντας· ἀριδήλως γὰρ ὑπακούεται τούτοις τὸ κεκμηκώς. Ἀλλ' ἐν πολλοῖς οὐκ ἔχει τις ἀληθῶς ὅ,τι ποτὲ καὶ τιθῇ· αὐτίκα εἶσαι τοῦ ὕπνου νοεῖ, ἀφύπνωσας μέν, ἀλλ' ἔτι σκοτοδινιᾷς, ἧς καταστάσεως ὡς ὅρον νομικὸν (Ποιν. Νόμ. 86) Θερειανὸς τὸ ὑπνόφλυξ προὔτεινεν. Οὐδὲν δὲ θαῦμα, εἰ κατὰ μικρὸν εἰς τὴν τοῦ ἄρτι σημασίαν ἡ σύνταξις μεταπέπτωκεν· ἐν τοῦ λουτροῦ ἡ Ἀλισαβοῦ ἄρτι λέλουται· εἶμαι τῆς θέρμης, οὐ πρὸ μακροῦ ἐπύρεττον. Καὶ παρενθετικῶς· οἷον, ἐπειράζαν τον καὶ τοῦτοι· κεῖνος πάλε, τοῦ κρασιοῦ, ἔν ἐβάσταξεν, ὅ ἐστιν ἤδη ὑποπεπωκώς, οὐκέθ' αὑτοῦ ἐγένετο.

Σαφῶς δὲ διακριτέα τῆς ἀπροσώπου τῆςδε ἴντα λοῆς βοΐζουσιν τὰ φκιά μου·— ἐν τοῦ κινίνου, χαρῶ σε, οἷον εἰπεῖν ἐπακολουθητικόν· μμὰ γιατί γλυκοπατᾷ τὸ κρασίν; — ἐν τοῦ σταφυλιοῦ, γέ μου, — ἐν τῆς γῆς.

Ταύτης πολὺ διέστηκεν ἡ τῆς ἀξίας γενική· λέγει δὲ ταυτηνί· ὁ Χαμπῆς ἐν τοῦ δημμάτου, ὅ εἶναι γιὰ δέσιμο φαμέν. Μέγ γελᾳς κόρη μου, κ' ἔν ἐν τοῦ ἀναγελασμάτου. Καὶ ταῦτα μὲν οὐκ ἂν σφόδρ' ἀήθη καὶ τῷ μὴ Κυπρίῳ δοκοίη, οὗτοι μέντοι

κατακέχρηνται. Αὐτίκα τις ᾠδὸς καλλυνόμενος διὰ τὴν τῆς ποιήσεως ῥώμην, ᾄδει τουτί·

'Εμέναν τὰ τραούδια μου ἐν τοῦ περιγραμμάτου
Τὰ ἥμισα 'ν τοῦ σκωτωμοῦ καὶ τἆλλα 'ν τοῦ κλαμάτου.

ὃ νοεῖ «ἐν πὸ κεῖνα ποῦ κάμνουν κανέναν νὰ σκωτωθῇ».
'Αλλὰ πασῶν ἐκτοπωτάτη ἡ τοπικὴ φαίνεται γενική, παραλαμβανομένη ἔνθ' οἱ μὲν παλαιοὶ τῇ διά, ἡμεῖς δὲ τῇ ἀπὸ χρώμεθα. Ἔστω δὲ παραδείγματα τάδε·

'Αντὰν τὴν εἶδα κ' ἔβκαιννεν κ' ἐπάαιννεν τοῦ πόρου.
Ἔλα, πουλλοῦ μου, τοῦ φραμοῦ κ' ἔλα τοῦ μελισσῶνα.
Ἔν ἀθθυμασαι, μάνα μου, ποῦ ἔρκουμουν τοῦ τοίχου
Νὰ ποσκεπάζω τοῦ φραμοῦ νά μου λαλῇς ἐλᾶσσω.

πρβ. καὶ παρὰ Σακελλαρίῳ (Β' 57 Δημ. ᾀσμ. 145. 15)

'Ανέφανεν ὁ Γιάννουλλος τοῦ κάμπου κυνηῶντας·

ὃ δὲ καινότατον,

'Αντὰν νὰ μπαίνω τοῦ χωρκοῦ οἱ σκάλες μου φακκοῦσιν.
'Αντὰν νὰ μπῇς τοῦ περβολιοῦ, τὰ δέντρα σκιὸς σοῦ κάμνουν.

Εὐχρηστοτάτη δ' αὕτη καὶ τοῖς ἀστοῖς εἰς δήλωσιν δι' ἧς τινος ἄγουσιν ὁδοῦ, ἀντιτιθεμένη τῇ αἰτιατικῇ, τὸ τέρμα σημαινούσῃ τῆς πορείας. Λέγουσι γὰρ ἐπῆεν τοῦ Ζυοῦ, τὴν ἐκεῖθεν ἄγουσαν ἐτράπη, πααίννει τὸ Ζυόν ἐκεῖσε πορεύεται (πρβλ. ἦρτεν τὴλ Λεμεσόν). Τῷ δὲ ζητοῦντι ὅπως ἐνταῦθ' ἡ γενικὴ περιέστηκε δοκεῖ μοι τόδ' ἐπικουρεῖν·

'Αντὰ διαβῶ τῆς πόρτας σου καὶ ῥέξω τοῦ στενοῦ σου.

Ὥσπερ γὰρ δκιαβαίνω τῆς πόρτας καὶ ξεβαίννω τῆς πόρτας ἐλέχθη καὶ μπαίνω τῆς πόρτας· παραπλήσια καὶ τἀπαρεμφάτου

Digitized by Google

τόπον ἐπέχοντα, στὸ ἔμπα τοῦ χωρκοῦ, στὸ ἔβκα τοῦ χωρκοῦ τοπικῶς ἅμα καὶ χρονικῶς λαμβανόμενα, καὶ στὸ ποδκιάβα τοῦ παναΰρκοῦ, μετὰ τὴν πανήγυριν.

Τῆς δ' ἐπιούσης γενικῆς εὔδηλος ἡ ἀρχή· ἐj γεναῖκα τῶj γεναικῶν, ἐν ἄθρωπος τοὺς ἀθρώπους, ἐν οἷς περ ὁ πληθυντικὸς τὸν ἔπαινον ἐξαίρει. Ἀλλὰ καὶ αὕτη θαυμαστῶς ὡς ἐχώρησε, νῦν δ' ὡδέ πως παραπαίει·

Σὰν νἄμου σκλάβος τῆς σκλαβκιᾶς κιἂν εἶεμ με ποσπάσης.
Ἄσπρη μου χιόνα τοῦ χιονιοῦ κιἄσπρη μου δαχτυλάτη.

καίτοι ἐν τῷ ἐχομένῳ, ἔνθα μάλισθ' ἡ γενικὴ προσῆκεν, ἀνελύθη,

Ποὺ τοὺς φτωχοὺς φτωχὸς εἶμαι ποὺ τοὺς ὀκνιοὺς ὀκνιάρις.

Οὐ πολλῷ δὲ ταύτης διάφορος ἥδε, δοκῶ μοι, τυγχάνει· κλωτσιὰν τῆς κλωτσιᾶς ἢ κουγκιὰν τῆς κουγκιᾶς ἐξιπόρτισεν τον. Ποὺ μέραν τῆς ἡμέρας μεγαλυννίσκει. Ποὺ πλύμμαν τοῦ πλυμμάτου ἐξώβαφεν. Ἐδκιακόναν ποὺ σπίτιν τοῦ σπιδκιοῦ ἢ ποὺ πόρταν τῆς πόρτας, τὸ τῆς Γραφῆς «τόπον ἐκ τόπου περιερχομένη καὶ οἰκίαν ἐξ οἰκίας» (Ἰώβ, Β' 9).

Ἐπὶ δὲ πάσαις ἡ διαιρετικὴ καλουμένη γενικὴ τοῖς ἀγρόταις τῶν Κυπρίων ἰδιάζει· δκυό φορες τῆς ἡμεροῦ πάει στάμπέλιν. Χρόνους ἐν ἐκοιμουμουν τρεῖς ὧρες τῆς νυχτοῦ, ἑκάστης δῆλον ὅτι. Χάννει δκυὸ γρόσια τῆς ὀκκᾶς. Βκάλλει τρεῖς ππαράδες τοῦ ῥηαλιοῦ, ὅπερ ὁμοιότατον τῷ παρ' Αἰσχίνῃ ἐν τῷ κατὰ Κτησιφῶντος «τόκον ἤνεγκαν δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς».

Φράσεις δὲ μετὰ γενικῆς λόγου πως ἄξιαί εἰσιν αἱ καταριθμούμεναι. Πρῶτον, ἐξώδκιασα τοῦ βάρου σου ἴσον ὅσα βαρεῖς. Δεύτερον, ἐν ἔμεινεν ἕνας καὶ τοῦ μόνου, σημαῖνον οὐδὲ εἷς, ἄλλως δὲ λεγόμενον μαγκόνας, ὅ ἐστι τὸ Ἰταλικὸν manco ἕνας. Τρίτον, ηὗρεν πλαΐου κάμπου, ἀνέδην, ἰταμῶς χρῆται τῷ εἰς αὐτὸν περιελθόντι. Τέταρτον, ἔπκιασεν τον τοῦ βούρου, τρέχοντα ἢ ἔπαιξεν το τοῦ φτέρου, πετόμενον.

Αὗται μὲν τοίνυν αἱ ἰδιώταται τῶν κατὰ Κυπρίους τῆς γενικῆς

Digitized by Google

χρήσεων. Παρήκαμεν γὰρ τὰς τοῖς ἅπασιν Ἕλλησιν ἀναλόγους. Τῶν δὲ τοιούτων ἡγοῦμαι καὶ τὴν τῶν ἐπιθέτων, τῶν μετὰ τοῦ στερητικοῦ α συνθέτων· ἄφοος τοῦ Θεοῦ, ἀνήξερος τοῦ κόσμου, ἀμάθητος τῆς δουλειᾶς,

Εἶμαι χαμένος τοῦ φιλειοῦ κιἄπραχτος τῆς ἀγάπης.

(Τὸ πράσσω κάπκοιον, ἐν πείρᾳ τινὸς γίγνομαι νοεῖ). Ἀλλ' ἑτέραν ἐνταῦθ' ἐπιθέτου σύνταξιν λέγειν ἐθέλω, ἔξω μὲν τοῦ παρόντος, μακρῷ δ' ἀτοπωτάτην οὖσαν, τὴν τοῦ στραὸς μετ' αἰτιατικῆς ἐν Μεσαρέᾳ συνήθη· εἶσαι στραὸς τὸ θερνάκιν; οὐ τὸν θρίναχ' ὁρᾷς;

Νὰ τῆς μηνύσω καὶ τωρὰ κιάλλαξανὰ χανεῖ την
Ἀθ θέλῃ νἄρτῃ ἔσσω μου, ἔν κ' ἐ στραβὴ τὸ σπίτιν.

Οὐδὲ τούτου ἄνω ἐπεμνήσθημεν, ὡς ἡ γενικὴ ἀντὶ τῆς πάλαι δοτικῆς ἀντικαθεστήκοι· κοινὸν γάρ· κλουθῶ του, συντυχάννω του, πολοοῦμαι του, κοντέβκω του, εφκαριστῶ του, πιστεβκω του, μπλάζω του (ἐντυγχάνω τινί)

Ἔμπλασα τῆς ἀγάπης μου πὤρκετουν ποὺ τὸλ λάκκον

(πρβλ. καὶ Μαχ. παρὰ Σάθᾳ, 102, ἐμπλάσαν τοῦ Τζουάν κλ.). Ἀλλὰ καὶ ταῦτ' ἐπὶ μείζω ἦλθε καὶ νῦν καθόλου ὅπως ἔχει τίς τινι δηλοῖ· οἷον ἀζουλέβκει τῆς γεναίκας του, ἀγγονίστηκεν τῶν πανάνων, καλλικέβκω τοῦ χτηνοῦ, κάλλιον νὰ φταίσω τοῦ θεοῦ, ὅπκοιος γελάσῃ τοῦ ἄλλου, μέν ἀχτυπᾷς τοῦ μωροῦ. Ἐν τούτοις δ' ἐξετάζεσθαι δοκεῖ μοι καὶ τὸ διπλάζω του, διπλάσιος αὐτοῦ εἰμι. Καὶ περὶ τῆς κτητικῆς δὲ γενικῆς τοῦτ' ἔοικε ῥητέον, ὡς ἀεὶ κατὰ κανόν' ἐπιφέρεται, ἐπεὶ τῶν νησιωτῶν οὐκ ὀλίγοι προτάττειν αὐτὴν φιλοῦσιν· αὐτίκα Χῖοι τῆς κόρης τὸ γεφύρι φασίν, ὅπερ οὐ Κύπριον, πλὴν εἴ τις ἀντιδιαστέλλων εἴποι· Τῆς Ῥοδοῦς τὸ φάμμαν ἐν καλλύττερον ποὺ τῆς Ἀθασοῦς.

Χρονικὴ δὲ γενικὴ συχνοτέρα τῆς πᾶσιν εἰωθυίας τοῦ χρόνου ἐστὶν ἡ ταὐτόσημος τοῦ καιροῦ. Περιεργοτέρα δ' ἡ τῆς ὡροῦς,

Digitized by Google

ὅ ἐστι παραχρῆμα· οἷον ἔφτασεν τον τῆς ὡροῦς ἢ τῆς ὡροῦς φέδκω. Ἀλλ' ἐν στίχῳ τινὶ φέρεται παραδοξότατα ἡ αἰτιατική·

Ἂν εὕρῃς κάλλιον ποὺ τὰ μέ, πολόγιασ' με τὴν ὥραν.

Ἀλλὰ καὶ τὸ δείλης, οἷον ἦρτεδ δείλης, γενικὴν παλαιὰν εἶναι νομίζω, καίπερ οὐδετέρως, ὥσπερ καὶ τὸ τῶν χαριεστέρων ἑσπέρας, ἐκφερομένην.

Ἐμπροθέτως δὲ χρῶνται τῇ γενικῇ σὺν τῇ ἀπό, τῇ μετὰ καὶ τῇ κατά, ἐκείνῃ μέν, πὸ καὶ ποὺ λεγομένῃ, φραστικῶς ἐν μόνοις τοῖςδε· ποὺ κεφαλῆς, ποὺ καρκιᾶς, ποὺ γωνιᾶς, ποὺ ῥίζας, ποὺ γενιᾶς, ποὺ ξαναρκῆς, ποὺ κινουρκῆς, ποὺ Δευτέρας ἢ ποὺ βτομάδας, πὸ σπέρας, πὸ βώλου, ὅ ἐστιν ἐκ βάθρων, ἄρδην ποὺ γυροῦ ἴσον τῷ κατὰ σειράν, ποὺ προσώσου ἐν τῇ φράσει ἐπῆρεν τον ποὺ προσώπου, τοῦτ' ἐστι σκαιῶς, τέλος δὲ ποὺ χερός του, δῆλον ὅτι ἀφ' ἑαυτοῦ. Ἡ δὲ διεστραμμένη μιτά, σαφῶς τονιζομένη, εὐχρηστεῖ μετ' ὀνομάτων κυρίων καὶ προσωπικῶν ἀντωνυμιῶν καὶ πλέον οὔ· ἐπῆεμ μιτὰ τοῦ Τροφῆ, μιτὰ τῆς Κυρκακοῦς, μιτά μου, μιτά σου, μιτά του, μιτά της, ἃ καὶ Μαχαιρᾷ γνώριμα. Τῆς δὲ κατὰ μοχθηρά πως ἡ μετὰ γενικῆς χρῆσις. Δηλοῖ γὰρ ὅπερ, εἰ τῇ αἰτιατικῇ συντάττοιτο, ἀνεγκλήτως ἂν δηλοίη· Κατὰ τῆς στετές μου, ὁ Κωσταντὶς ἐν ἡ πέτρα τοῦ μύλου ἡ πουκάτω, δῆλα δὴ κατὰ τὴν τήθην τὴν ἐμήν, μᾶλλον δέ, τὸ τῆς τήθης καλῶς εἴρηται, Ἀντρώνιος ὄνος. Ἀλλὰ καὶ κατὰ τὸλ λόον τῆς κουμέρας λέγουσι καὶ ὀμνύντες κατὰ Θεόν. Διασέσωσται δὲ καὶ ἡ πρὸ ἐν τῇ περὶ δείπνου φράσει ἔκατσεν τον πρὸ κεφαλῆς, ὅ ἐστι τὸ τῶν παλαιῶν προκατέκλινε. Ἡ δὲ παρὰ ἐν ταῖς φράσεσιν παρὰ σπιδκιοῦ, οἷον ἐδείπνησα παρὰ σπιδκιοῦ καὶ παρὰ γωνιᾶς, ὥσπερ ἐν τῷ γνωμικῷ

Ἀπῶν ἀκουει τοῦ γονιοῦ παρὰ γωνιᾶς κοιμᾶται

ημαίνει ἐν ἀλλοτρίῳ οἴκῳ, ἐν ξένῃ γωνίᾳ.

Ἐπιρρήματα δὲ μετὰ γενικῆς τὰ τρία, χώρις σου, δίχως σου, ;ώρκα σου καὶ τὸ ὡς = ἕως ἐν τῇ φρ. ὡς τῆς ὥρας = μέχρι οὗδε. Γενικοφανῆ δὲ τάδε· καταμεσῆς, μονομιᾶς, μονονυχτοῦ,

Digitized by Google

μονοχρονοῦ, μονόωροῦ, μονοκαβάλλου, καὶ σιούρου, ἤτοι βέβαιος,

'Ασημοκαρυδόλαιμη καὶ βλύσι τοῦ καούρου
'Αντὰ ψυχομαχῇς ἐσύ, νἄμουν ἐγὼ σιούρου.

Καὶ ταῦτα μὲν τὰ παρὰ τοῖς νῦν Κυπρίοις. Οἱ δὲ χρονογράφοι ταῖς κατειλεγμέναις ἰδιωτέραις συντάξεσιν οὐ χρῶνται, οὔτε ταῖς καινοτέραις, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, οὔτε ταῖς παλαιτέραις. Διὰ δὲ τοῦτ' οἶμαι καὶ Βαυδουῖνον, καίπερ καὶ περὶ τῆς συντάξεως ἐν τῷ τετάρτῳ τῆς αὐτοῦ Μελέτης διαλαβόντα, οὐδεμιᾶς τούτων αἰσθέσθαι καὶ μόνοις ἐκείνοις τοῖς συγγραφεῦσι τὸν νοῦν ἐνερείσαντ' ἀποφήνασθαι τὴν αὐτὴν εἶναι καὶ ὁμοειδῆ (une et identique) ἐν παντὶ τῷ ἑλληνικῷ τὴν τοῦ λόγου σύνταξιν (Étude p. 97). Ὁ δήπου νῦν αταλαίπωρον κομιδῇ φωρᾶται. Οὐ μὴν ἀλλὰ καὶ τὰ ἐμαυτῷ διὰ τοσούτων εἰρημένα ὀκνῶ μὴ ἀσυντελῆ φανῇ.

ΣΙΜΟΣ ΜΕΝΑΡΔΟΣ

Digitized by Google

ΑΝΑΛΛΟΙΩΤΟΙ ΣΥΝΑΡΤΗΣΕΙΣ

ΔΙΑΦΟΡΙΚΩΝ ΠΑΡΑΣΤΑΣΕΩΝ

Ἐὰν ξ, η, ζ εἶνε τυχοῦσαι συναρτήσεις τῶν τριῶν μεταβλητῶν x, y, z, αἵτινες εἶνε ἀνεξάρτητοι ἀπ' ἀλλήλων, ζητεῖται, νὰ προσδιορισθῶσι πᾶσαι αἱ συναρτήσεις τῶν ἓξ παραστάσεων.

$$\frac{d\xi}{dx},\quad \frac{d\eta}{dy},\quad \frac{d\zeta}{dz},\quad \frac{d\eta}{dz}+\frac{d\zeta}{dy},\quad \frac{d\zeta}{dx}+\frac{d\xi}{dz},\quad \frac{d\xi}{dy}+\frac{d\eta}{dx}$$

αἵτινες μένουσιν ἀναλλοίωτοι, ὅταν οἱ ὀρθ. ἄξονες τῶν συντεταγμένων x, y, z καὶ ξ, η, ζ στραφῶσιν ὅπως δήποτε περὶ τὴν ἀρχήν, ἢ ὅταν δύο ἐκ τούτων στραφῶσιν ἐν τῷ ἐπιπέδῳ αὐτῶν (1).

Τὰς ἓξ παραστάσεις ταύτας σημειῶ συντομίας χάριν διὰ λ, μ, ν καὶ p, q, r κατὰ σειράν.

---

(1) Εἰς τὴν ἀναλυτικὴν ταύτην ἔρευναν ἔδωκεν ἀφορμὴν διατριβή τις τοῦ κ. Μαλτέζου, ἐν ᾗ οὗτος δίδει τὰ ἀναπτύγματα τῶν ἐλαστικῶν δυνάμεων ἐν ἰσοτρόποις σώμασιν κατὰ τὰς δύο πρώτας δυνάμεις τῶν ἓξ παραστάσεων λ, μ, ν, p, q, r. Ἂν αἱ ἐλαστικαὶ δυνάμεις εἶνε συναρτήσεις τῶν παραστάσεων λ, μ, ν, p, q, r καὶ *μόνον τούτων*, ὅταν λαμβάνωνται ὑπ' ὄψιν καὶ τὰ ἀπειροστὰ τῆς 6' τάξεως, τοῦτο εἶνε ζήτημα, ὅπερ δὲν θέλω ἐνταῦθα νὰ ἐξετάσω· παρατηρῶ μόνον, ὅτι ἡ μέθοδος, δι' ἧς εἰργάσθη ὁ κ. Μαλτέζος πρὸς εὕρεσιν τῶν ὅρων τῶν δύο πρώτων διαστάσεων ἐν τοῖς ἀναπτύγμασι τῶν ἐλαστικῶν δυνάμεων, καὶ διὰ τὰς ἐπιφανείας ἀκόμη εἶνε ἐπιπονωτάτη καὶ μακροτάτους ἀπαιτεῖ λογαριασμούς· πολὺ δὲ περισσότερον διὰ τὰ σώματα· τούτων δίδει τὰ ἀναπτύγματα τῶν ἐλαστικῶν δυνάμεων παραλείπων ὅλως τοὺς λογαριασμοὺς δι' ὧν εὑρέθησαν. Διὰ τῆς μεθόδου, ἣν ἐκθέτω ἐνταῦθα, εὑρίσκεται τὸ ἀνάπτυγμα τοῦ ἐσωτερικοῦ ἔργου τῶν ἐλαστικῶν δυνάμεων μέχρι τῶν ὅρων οἱασδήποτε διαστάσεως· καὶ οὐ μόνον ἐν τοῖς ἰσοτρόποις σώμασιν ἀλλὰ καὶ ἐν ἐκείνοις, ἅτινα ἔχουσιν ἄξονα ἰσορροπίας ἐπὶ τῇ ὑποθέσει ὅτι εἶνε συνάρτησις τῶν λ, μ, ν, p. q, r.

Digitized by Google

Α') Ἀναλλοίωτοι περὶ τὸν ἄξονα τῶν z.

Θεωρήσωμεν κατὰ πρῶτον τὰς συναρτήσεις

$$F(\lambda, \mu, \nu, p. q, r)$$

αἵτινες μένουσιν ἀναλλοίωτοι, ὅταν περὶ τὸν ἄξονα τῶν z στρέφωνται οἱ δύο ἕτεροι. Ἐπειδὴ ἑκάστη πεπερασμένη στροφὴ δύναται νὰ ἀναλυθῇ εἰς ἀπειροστὰς στροφάς, καὶ ὅταν εἰς μίαν τούτων ἡ συνάρτησις F μένῃ ἀναλλοίωτος, μένει καὶ εἰς τὰς ἑπομένας ἀναλλοίωτος, συμπεραίνομεν, ὅτι ἀρκεῖ νὰ μένῃ ἡ F ἀναλλοίωτος εἰς τὴν ἀπειροστὴν περιστροφὴν τῶν ἀξόνων ox, oy.

Ἔστωσαν $\begin{matrix} x_1 = \alpha x + \alpha' y \\ y_1 = \beta x + \beta' y \end{matrix}$ (1) $\begin{matrix} \alpha = \beta' = \text{συν}\varphi \\ \beta = -\alpha' = \eta\mu\varphi \end{matrix}$

οἱ τύποι τῆς μεταβάσεως ἀπὸ τῶν ἀξόνων ox, oy εἰς τοὺς νέους ox_1 oy_1· τότε θὰ εἶναι καὶ

$$\begin{matrix} \xi_1 = \alpha\xi + \alpha'\eta \\ \eta_1 = \beta\xi + \beta'\eta \end{matrix} \qquad (1')$$

ὅθεν προκύπτει

$$\lambda_1 = \frac{d\xi_1}{dx_1} = \alpha\left(\frac{d\xi}{dx}\alpha + \frac{d\xi}{dy}\alpha'\right) + \alpha'\left(\frac{d\eta}{dx}\alpha + \frac{d\eta}{dy}\alpha'\right)$$

ἤτοι $\lambda_1 = \lambda\alpha^2 + \mu\alpha'^2 + r\alpha\alpha'.$

ὁμοίως $\mu_1 = \lambda\beta^2 + \mu\beta'^2 + r\beta\beta'$ (2)

καὶ $\nu_1 = \nu$

Ἐπίσης εὑρίσκομεν

$$p_1 = \frac{d\eta_1}{dz_1} + \frac{d\zeta_1}{dy_1} = \beta\frac{d\xi}{dz} + \beta'\frac{d\eta}{dz} + \frac{d\zeta}{dy}\beta' + \frac{d\zeta}{dx}\beta$$

Digitized by Google

ἤτοι $$p_1 = \beta' p + \beta q$$

ὁμοίως $$q_1 = \alpha' p + \alpha q \qquad (3)$$

καὶ $$r_1 = 2\alpha\beta\lambda + 2\alpha'\beta'\mu + (\alpha\beta' + \alpha'\beta) r$$

Ἐὰν νῦν ἡ συνάρτησις

$$F(\lambda, \mu, \nu, p, q, r)$$

τῶν ἓξ παραστάσεων λ, μ, ν, p, q, r μένῃ ἀναλλοίωτος κατὰ τὴν περιστροφὴν (1) καὶ (1'), θὰ εἶνε

$$F(\lambda_1, \mu_1, \nu_1, p_1, q_1, r_1) = F(\lambda, \mu, \nu, p, q, r) \qquad (4)$$

τῶν λ_1 μ_1 ν_1 p_1 q_1 r_1 ἐχόντων τὰς τιμὰς (2) καὶ (3)· καὶ ἂν διαφορίσωμεν τὴν ἐξίσωσιν ταύτην πρὸς φ καὶ εἰς τὴν προκύπτουσαν θέσωμεν $\varphi = 0$ (ἤτοι ἂν κατὰ τὴν ἀπειροστὴν γωνίαν $d\varphi$ στρέψωμεν τοὺς ἄξονας ox, oy), εὑρίσκομεν τὴν διαφορικὴν ἐξίσωσιν

$$-r\frac{dF}{d\lambda} + r\frac{dF}{d\mu} + \frac{dF}{dp}q - \frac{dF}{dq}p + 2\frac{dF}{dr}(\lambda - \mu) = 0 \qquad (5)$$

ἥτις ἐκφράζει, ὅτι ἡ συνάρτησις F μένει ἀναλλοίωτος εἰς τὴν ἀπειροστὴν στροφὴν $d\varphi$ τῶν ἀξόνων ox, oy.

Ἡ ὁλοκλήρωσις τῆς ἐξισώσεως ταύτης ἀνάγεται ὡς γνωστὸν εἰς τὴν ὁλοκλήρωσιν τοῦ συστήματος

$$\frac{d\lambda}{-r} = \frac{d\mu}{r} = \frac{dp}{q} = \frac{dq}{-p} = \frac{dr}{2(\lambda - \mu)}. \qquad (6)$$

οὗτινος εὑρίσκομεν ἀμέσως τὰ ἑξῆς ὁλοκληρώματα.

$$\begin{aligned} \lambda + \mu &= C_1 \\ p^2 + q^2 &= C_2 \\ r^2 - 4\lambda\mu &= C'_2 \\ \lambda p^2 + \mu q^2 - pqr &= C_3 \end{aligned} \qquad (7)$$

Digitized by Google

Ἐντεῦθεν συνάγεται, ὅτι πᾶσαι αἱ συναρτήσεις, αἵτινες μένουσιν ἀναλλοίωτοι εἰς τὴν προκειμένην περιστροφήν, περιλαμβάνονται εἰς τὸν τύπον

$$\Phi\,(\lambda+\mu,\ \nu,\ p^2+q^2,\ r^2-4\lambda\mu,\ \lambda p^2+\mu q^2-pqr) \qquad (8)$$

ἔνθα Φ δηλοῖ αὐθαίρετον συνάρτησιν· πᾶσα δηλαδὴ ἀναλλοίωτος εἶνε συνάρτησις τῶν ἑξῆς πέντε στοιχειωδῶν ἀναλλοιώτων

$$\lambda+\mu,\quad \nu,\quad p^2+q^2,\quad r^2-4\lambda\mu,\quad \lambda p^2+\mu q^2-pqr$$

Ἐὰν ἄρα θέλωμεν νὰ ἀναπτύξωμεν τὴν συνάρτησιν F κατὰ τὸν τύπον τοῦ Maclaurin, θὰ ἔχωμεν

$$\begin{aligned} F = {} & \alpha(\lambda+\mu)+\beta\nu+\{A(\lambda+\mu)^2+B\nu^2+2\Gamma\nu(\lambda+\mu) \\ & +\Delta(p^2+q^2)+\Theta(r^2-4\lambda\mu)\}+ \\ (9) \qquad & +\Big[M(\lambda+\mu)^3+N\nu^3+\Pi(\lambda+\mu)^2.\nu+P\nu^2(\lambda+\mu)+ \\ & +\Sigma(\lambda+\mu)(p^2+q^2)+T(\lambda+\mu)(r^2-4\lambda\mu)+K\nu(p^2+q^2) \\ & +\Lambda\nu(r^2-4\lambda\mu)+H(\lambda p^2+\mu q^2-pqr)\Big]+\dots \end{aligned}$$

ἔνθα ἐγράφησαν μόνον οἱ ὅροι τῶν τριῶν πρώτων διαστάσεων· εὐκόλως ὅμως δύναταί τις νὰ σχηματίσῃ διὰ τοῦ συνδυασμοῦ τῶν πέντε στοιχειωδῶν ἀναλλοιώτων καὶ τοὺς ὅρους οἱασδήποτε διαστάσεως.

Ἡ διαφορικὴ ἐξίσωσις (5) δι' ἧς ὁρίζονται αἱ ἀναλλοίωτοι, ἔχει τὰς ἑξῆς δύο ἰδιότητας.

1) Ἐὰν ἡ συνάρτησις F ἐπαληθεύῃ αὐτήν, καὶ τὸ ἄθροισμα

$$\frac{dF}{d\lambda}+\frac{dF}{d\mu}+\frac{dF}{d\nu} \qquad (10)$$

Digitized by Google

